πατρίδος εὐκλείσας . . .]ΔΙΑΣ ἱερὰς Κορκύρης.

Luctatoris epitaphium parum diligenter ex lapide descriptum. — 1 ΟΙϹΠΑ — 2 non videtur proverbium latere οἶκος φίλος, οἶκος ἄριστος. — 3 ΜΕΤΑΘΥΡϹΟΥ nomen feci. — 4 ΑΛΥΜΕΝΟϹ — 5 ΕΚΘΡΟϹ — 6 nisi gravius corrupta haec putes, ipse defunctus compellari videtur; inserto ὦ numeros fulcire tutius erat. — 7 nec σταδίας fuit nec placet πόλιας.

---

263. Corcyrae. Ex Mustoxyde l. s. s. Wachsmuth *Mus. Rh.* XVIII 554. Descripsit etiam Wilamowitz, cui titulus in lamina lapidis sectilis incisus suspectus est.

— — — — — — — — — — —
. . . . γυναιξὶ καὶ τέκνοις
. . . . ε]ἰς τὸν αἰανῆ χρόνον
. . . . . λαμπρὸν εἰ]ληφὼς κλέος,
πολλὸν λιπὼν γυναικὶ κ]αὶ τέκνοις βίον.

Litterae vulgares. — 1 γυναιξί mirus pluralis numerus certo in lapide est. — 4 vel λιπὼν γυναικὶ τέκνα καὶ τ. β. i. e. victum sufficientem.

---

264. Cephallenia in insula. C. I. 1930.

. . . .]μα κήδεα πότμου
nomen defuncti μ'ἐςορᾶς ἐν χϑ]ονὶ κεκλιμένον
λείπω δ'ἐν μεγάροις γονέα]ς καὶ μητέρα μητρός
καὶ πάππον στυγερῷ πένϑει τη]κομένους·
. . . . οὖδ]ας πρὸς ἀλάνπετον Ἅιδ[ου
. . . . οἰκτρότατ]ος κατέβην·
ἀλλ' ὀστοῖσι πατὴρ κόνιν εὐσεβέ]ως ἐπέβαλλεν
καὶ σὺν μητρὶ τάφους ἄμφε]πε σ[ύ]ν τε φίλοις.
. . . . ξείν]οι[ς] καὶ π[ο]λιήταις
. . . .
ἀλλὰ λέγω . . . . . . δά]κρυα μηκέτι πέμπει[ν,
. . . . . . εἷς γὰρ πάντα μέ]νει ϑάνατος·
τοὔνεκα . . . .] ἐμῶν ἀποπαύετε ϑρή[νων
. . . .

Litterae vulgares praeter ϲ. Argumentum carminis adumbravi. — 2 χθονί Boeckh, idemque v. 9 ΟΙΕΚΑΙΠΘΛΙΗΤΑΙΣ et v. 13 ΟΡΗΙ correxit. — 4 vel γήραι τηκομένους. — 7 ϹΩϹ — 8 ΠΕϹΙΝΤΕ — 10 pentameter intercidit.

---

265. Eremopoli Cretae. Spratt *Itiner. Cret.* II 421 coll. tab.

Τὰ[ν] μεγάλαυχον ὁ[ρ]ᾶ[ς . . . . οὔνο[μ'] ἀνέγ[νως,
ἇς κλ[έ]ος ἐν Κρήτᾳ μίμνεται ἀθάνατον·
δόξῃ γὰρ γονέων, ἀρετᾷ [δ'] ἀνδρὸς συνο[μα]ίμου
Φείδωνος γεν[ε]ᾶς ἔκκριτον ἀθανάτων
μναστῆρα σὺ δέδεξαι ἐπίφθονον. — [ἀλλ'] ἐτέκνωσας
σᾶς ἀλόχου, Πείσω[ν], ἔγγονον ἰσόθεον.
ἀλλά, [Ζ]εῦ Κρονίδα, σώ[ζ]οις γόνον, ὃν κατέλειπ[ον,
Σων[α]ύταν δεχέτη, δόξαν ἔχοντ' ἀρετᾶς.

Litterae vulgares. Epigramma non uno nomine inpeditum. — 1 ΧΟΝ . ΟΙΑΝΕ.ΛΜΝΡΑΜΙΣΟΥΝΟΝ litterae quas punctis notavi dubiae sunt. Videmur ad anaglyphum et ad nomen in alio cippi latere scriptum (in -αμις desinens) vocari. — 3 ΤΑΛ corr. editor, eidemque debetur συνομαίμου, ἀλλ' (v. 5), Πείσων (v. 6 ubi traditur ΠΕΙΣΩΣ), Ζεῦ et σώζοις (v. 7 ΣΕΥ et ΣΩΣΟΙΣ), Σωναύταν (v. 8 ΣΩΝΑΥ). — 4 pro ἀθανάτων coniecit Wilamowitz εὐγενέος simile, illud ex v. 2 male repetitum existimans. Pro γενεᾶς possis γέννας, ΓΕΝΑΣ traditum. — 5 miro modo oratio ad maritum deflectitur, fortasse ab ipsa uxore adpellatum.

***266.** In Melo inventum, nunc Athenis. *Ephem.* 3508.

Κοινὸν φῶς ἰδοῦσα τὸ κοινὸν ἔχω τέλος αἰεί,
πέντε λιποῦσα τέκνων καλλιγόνου(ς) σταχύας.
μὴ μύρου, φίλ' ἄνερ, με· καὶ αὐτὸς ἐκεῖ γὰρ ὁδεύσας
εὑρήσεις τὴν σὴν σύνγαμον Εὐτυχίην.

Litterae infimae aetatis; epigramma vero haud inelegans. — ἰδοῦσα legitur in lapide; poeta fortasse ἐςιδοῦσα voluit.

---

267. Pholegandri. C. I. Add. II 2445 b.

Εὐκάρπῳ θρεπτῷ χρηστῷ μνείας χάριν ταῦτ' ἐχάραξα.
χαῖρε.

Versum facere voluit.

268. Sicini. C. I. 2447.

— — — — — — — — — — — — —
. . . . ἐνεγ]καμένη.
εἶδος μὲν πα[ρόμοιος ἔφυς Ἥρης] βασιλείης,
ἔργα δ' Ἀθηναίης [Πιερίδας τ' ἐ]δάης·
οὕνεκεν ἀθάνατοί σ[ε] θ[εοὶ πρὸς σφᾶς] συνάγειραν
τῶν προπάλαι κλ[ε]ινῶν κῦδο[ς ἐνεγ]καμένην·
ὅ[σ]σαι γὰρ ψυ[χ]αὶ [σεμνῶς τ' ἀγαθῶς τ'] ἐβίωσαν,
ταύτας μὴ θ[νήσκειν, ἀλλὰ λέγ' ἀθανάτους.

II fere p. Chr. n. saec. Primi distichi haec fuerit sententia: *ab ipsis deabus, quae nascenti tibi adfuerunt, dona tulisti et animi et corporis.* Alterum distichon Ross supplevit, nisi quod pro ποικίλα πόλλ' ἐδάης ego Πιερίδας τ' ἐδ. scripsi coll. Anth. P. VII 709, tertium Schneidewin (*Diar. litt. antiq.* 1838 n. 38), quartum ego refeci, nisi quod Buecheler ὅσσαι dederat, traditur ONCAI. — 5 ÔYNEKEN — TOICΘ‿ — 7 ΨYΛ ΛIω — 8 Callimachus θνάσκειν μὴ λέγε τοὺς ἀγαθούς.

---

269. Aedepsi. Ex schedis Vlrichsii Welcker *Mus. Rh.* 1845 p. 238.

Ἐνθάδε Σώτηρον Χαιρωνέα, χαλκεο[τ]έχνην,
Αἰδηψοῦ δ[άπε]δον τὸν φίλιον κα[τέχ]ει·
ἀντ' ἰδίας πατρί[δος γ]ὰρ ἐ[πήν]εσεν ἐνθά[δε ναί]ειν,
ταῖς ἱλαραῖς αἰ[εί φιλάμενος Χάρισιν.

Supplevit Vlrichs, nisi quod v. 4 mea praetuli. Ille enim quod a sententia et a sermonis usu aeque alienum videtur ταῖς ἱλαραῖς αἰεὶ ἤόσι τερπόμενος. Gratiae artifici propitiae sint oportet, cf. A. P. VI 61. — Cf. n. 247 Μούσαις οὐ μέγα φειλάμενος.

***270.** Carthaeenses inter inscriptiones editum in *Herma* Λογίῳ, inde C. I. 2372. Descripsi Athenis.

Εἴ με θέλις ἀνιχνεῖν, χερσὶ ὀστέα τἀμὰ ταράξαι,
στῆθι θύρης ἔξω, ἐνδὸν πόδα μήποτ' ἐςάξῃς·
οὐ γάρ σοι θέμις ἐστὶν δόμων μ' ἐμῶν ἐξαπελαύνιν.

Infimae aetatis. — 1 quae legi litterarum vestigia de ἀνιχνεῖν verbo dubitari non patiuntur. — 2 ΠOT' — 3 extr. ΛAYNI.

---

271. Aeginae. Lebas IV 1704.

Οὐκέτι κηροχύτοισι κατ' οὔρεα τέρπομε αὐλοῖς
πηκτίδος, οὔτ' ἄντροις, οὐ δένδρεσιν ὑψιπετήλοις,
ἠχὼ δ' οὐ φιλέω, οὐ τέρπομε ἀγρονόμοισιν·
ἀνδρὸς δ' εἰθυδίκου ποθέων περικαλλέα ἔργα
Ἀμπελίου σκιρτῶ καὶ τέρπομαι, ἔνθα κὲ Μοῦσαι
ἔσστασι τερπόμε[ν]αι πλατάνοισ[ι] καὶ ὑδατίο[ισιν.

Epigramma recentissimum videtur pastor quidam iuvenis in Ampelii senioris amici mortem scripsisse. — 1 ΚΗΡΟΚΟΧΥ — 2 *πηκτίς* est fistula pastoricia vel syrinx, cuius singuli calami *αὐλοί* vocantur. Achill. Tat. VIII 6 *ἡ σύριγξ αὐλοὶ μέν εἰσι πολλοί, κάλαμοι δὲ τῶν αὐλῶν ἕκαστος.* — 3 *ἀγρονόμοισιν* scilicet *gregibus.* — 5 *vita cotidiana relicta solis Musis deditus sum. σκιρτάω* verbum inepte positum. — 6 *ἔσστασι* videtur non corruptum sed ab inscito homine pro dactylo habitum. — ΤΕΡΠΟΜΕΚΑΙ.

---

272. Syro in insula. C. I. Add. II 2347 o. Ross *Inscr. ined.* 111. Lebas IV 1899. Nuper apographum omnium certissimum dedit Clon Stephanus *Inscr. Syr. ins.* p. 52 sq.

a. *Ἔξοχο]ν οὐδ' ἐπιελπτὸν ἔην κάλλος τε νόος τε*
καὶ σθέν]ος ἠνορέη τε ἑξαέτους βρέφεος
Δημοκρ]άτευς, ὃν τίκτε γυνὴ καλή τε καὶ ἐσθλή
nomen matris]*αἰδοίη Νικοκράτευς ἄλοχος·*
ἵκετο τοῦ] κλέος εὐρὺ Πανέλλησιν τε καὶ αὐτοῖς
Αἰνεά]δαις σοφίης εἵνεκεν ἠδ' ἀρετῆς.
πάτρη] δ' Ἀντιόχεια κλυτῆς ἀλόχοιο παρ' ὀχθαῖς
Μαιάν]δρου ποταμοῦ καλλινάου χθαμαλαῖς.
οὔνε]κεν ἁρπάξας Ἐριούνιος Εὐβουλῆι
τέκνον] ἄθυρμα φέρεν Φερσεφόνῃ τ' ἀλόχῳ,
πικρὸν] ἄχος λείπων πάππῳ μεγακύδει φωτί
nomen avi]*ῳ πάτραις τ' ἠδὲ γονεῦσι φίλοις.*

b. *Ἐνθάδε τὴν ἱεραν κ[εφ]αλ[ὴν κατὰ γαῖα καλύπτει*
Ἀμπέλιον· λοι[βὰς δὲ χέων στονάχησε θανοῦσαν
Μουσαῖος φιλόπατρι[ς ἀνήρ . . . .
αἰνοπαθὴς Παυλεῖνά τε μ[ήτηρ . . . .
καλὴν ἠδ' ἀγαθὴν καὶ μείλιχον ἠδὲ [θε]ουδῆ,
μουνολεχῆ, προτέραις ἐναρίθμιον ἡρωε[ίναις,
οὕνεκα δὴ σοφίῃ τε σαοφροσύνῃ τε [νόῳ τε

πουλύ τι πασάων προφερεστάτη ἔσκε [γυναικῶν.
καὶ δ' αὐτὴ πάτρη μιν ὑπείροχα κυδαίνου[σα
πᾶσα ἅμα μυρομένη τε τάφοις ἐνεθήκατ[ο τοῖσδε.

Hadriano recentius esse docet v. 6. Eius enim aetate coepti sunt Graeci et Romani isto modo inter se coniungi, ut praeter eos alia gens nulla esse videretur, cf. Keil *Syll. inscr. Boeot.* 122. — 1 ἔξοχον etiam ei scripsere qui ex pravis apographis ἐπίληπτον legebant. — 2 καὶ θράσος Boeckh; recepi Rossii supplementum licet lacunae spatium excedens. — 3. 6. 11. suppl. Ross. — 5 ex Stephani apographo constat de lectione Πανέλλησιν, unde ab initio verbum recuperandum erat, cui dativus iungi posset. — 6 legebatur πατρίς, cf. v. 12 et 21. Notanda prava verborum conlocatio; debebat enim ποταμοῖο παρ' ὀχθαῖς ut Il. Δ 487. — 9 εἴσοχεν Ross. οὕνεκεν Boeckh h. e. *quia nobili loco puer natus erat.* — 10 κεῖνον Boeckh. A. P. VIII 483 ἔσται μὰν ὅ γε παῖς ἐνὶ δώμασι Φερσεφονείοις παίγνιον, ubi quod Planudes habet Φερσεφονείας acciperem si legeretur ὅ γε σοῖς ἐνὶ δώμασι i. e. Plutonis. — 12 Μουσαίῳ Boeckh, qui Nicocratem (v. 4) filium esse sumpsit Musaei et Paulinae (v. 15. 16), fratrem Ampelii (v. 14). — Alterum carmen litteris grandioribus ornatioribusque scriptum eandem tamen indolem prodit. — 13 τὴν ἱερὰν in notissimo versu etiam epigr. Prusanum (infra n. 354), τὴν ἱερὴν A. P. VII 3 et 362 et tit. romanus Welcker *Syll.* 84. — 16 ΤΕΙΜΙ Stephanus hastam post τε non litteram esse sed interpunctionem adfirmans. μήτηρ Boeckh. — 17 sq. suppl. Boeckh. — 19 ΤΕΙ..Ι Steph. τε νόοιο Boeckh, καὶ αἰδοῖ Ross. — 22 suppl. edd.

---

273. In Syro. C. I. Add. II 2347 p.

Ἄνδρα σοφόν, Μούσαισι τετειμένον, ἐσθλὸν ἑταῖρον
πᾶσι φίλοις, ἀγαθῷ χρησάμενον βιότῳ,
Εἰρηναῖον ἔδεκτο πάτρης Μεροπηίδος ὄντα
Σῦρος. \ος.'

II vel III saec. epigramma, quod sine dubio integrum est. Annorum numerum subscriptum esse primus vidit Wilamowitz.

---

274. Minoae Amorgi. Ex Baumeisteri apographo Schneidewin *Philol.* IX 391.

Μοιράων με μίτος πικρὸς ὤλεσεν, [ο]ὐ [β]ι[ό]τοιο
οὐδὲ φάους γλυκεροῦ πολλὸν ἐπαυράμενον·

εἰ δὲ μαθεῖν συ ποθεῖς, τίνα μ' ἐνθάδε τύμβος ἔκευθεν,
οὔνομά μοι Κέρδων γλυκεροῦ πατρός ἐστιν ὅμοιον·
τριάκοντα δέ μιν λυκάβαντας ἀναπλήσαντα
δ]όγμασι μοιράων εἷλε μέλας θάνατος.

Litterae ϹꙌΕ. — 1 .ΥΡΙ.ΤΟΙΟ suppl. Buecheler. — 4 nomen metri aequabilitatem sustulit; poterat tamen pentametrum facere οὔνομά μοι Κέρδων πατρὸς ὅμοιον ἔφυ. — 5 pro μιν debebat με esse, quare aliunde distichon petitum existimarem, nisi eadem μοιράων forma etiam v. 1 esset.

---

275. Amorgo in insula. Syrae descripsit mecumque communicavit C. Curtius.

Νείκην ἐνθάδ' ὁρᾶς, [π]α[ρ]οδεῖτα, τήνδε θανοῦσαν
ἣ [τε]ῦξεν τύμβον κλεινὸς ἐμοὶ γαμέτης,
ᾧ λείπω κατὰ δῶμα καλῶν βλαστήματα τέκνων.
τειμῆς εἵνεκ' ἐμῆς μνημοσύνης τε χάριν.

II vel III saec. — 1 ΙΡΑ//Ο — 2 ΥϹΥΞЄΝ.

---

276. In Amorgo. Henzen *Annal. Instit.* 1864 p. 102.

Σωτηρί[χ]αν [μ]ε [τ]ύμ[βος] ἐνθάδε, ξεῖνε,
οὗτος [κ]αλύπτει· ὡς γὰρ ἤθελεν δαίμων,
τρὶς δέκα παρασχὼν ἔτεά μοι μόνον ζῆσα[ι.

Litterae Ε Ϲ Ꙍ. Restituit editor. — 1 ΙΥΜΕ// — 2 ΙΑ — 3 ΖΗϹΑϹ.

---

277. Prope Naxum Amorgi. Ex Sprattii ectypo Babington *Transact. of the Royal Society* X 23.

Ἀψευδεῖς] μούνη καὶ πρώτη [τοὺς πρὶν ἀοιδοὺς
δεῖξα,] καὶ οὐκέτι μοι μῦθον [ἐρεῖτ' ἀρετήν,
οὐκέτι· νικ]ῶ γὰρ πάσας τὰς σώ[φρονας οὔσας
κλεινήν τ' Ἄλκησ]τιν καὶ Πηνελόπε[ιαν ἀρίστην
. . . οὔτινα μείζον' . . . .

Litterae inferioris aetatis esse dicuntur. — 1 sq. suppl. Wilamowitz — 3 οὐκέτι praefixi melius non habens; neque enim per spatii rationem licet ab νικῶ γάρ versum incipere. — 4 Alcestis Penelopaeque epitheta non placent; videant alii.

---

278. Aegialae Amorgi. Ross *Inscr. ined.* II 123.

Τὸν νέον ὄντα, φίλοι, ζητήσατε καὶ καθιδόντες
τύμβον ἐμὸν Μείκ[κω]να ὀνομάζετε· 'ἰὼ φίλε.' καὶ σύ
ἐρχόμε[ν]ο[ς] π[α]ρ' ὁδῷ τὸ[ν] φίλον ὄντα νόει·
πᾶσι δε χαῖρε λέγω τοῖσι παρερχομένοις.

Infimae aetatis epigramma haud invenustum: exordii verba paullo inmutata recurrunt v. 3 τὸν νέον ὄντα, φίλοι — τὸν φίλον ὄντα νόει. *iuvenem, amici, quaerite et reperto tumulo dicite 'o amice'. et tu quoque qui praeteris nosce amicum tibi esse; omnes autem saluto.* Wilam. — 3 ΜΕΙ ΚΡΑΙΝΑ nomen certo erat. με 'Ιέρωνα Buecheler; Μίκκωνα Wilam. Vtitur autem lapidarius ω forma. — 3 ΤΟΙ Ross et Welcker (*Mus. Rh.* III 242) σοί.

---

279. In Amorgo. Henzen *Ann. Instit.* 1864 p. 106.

Τέκνα τέκνων ἐςιδὼν Ἑρμῆς Ἑσπέρου ἐτῶν ξ
ἡροικῷ θανάτῳ τῷδε τέτε[υ]χε τάφῳ.

Litterae ΑϹω. — 1 ξι monosyllabum. — 2 Manetho I 13 ῥυθμοῖς ἡροικοῖσι κτλ'. Editor mutavit τοῦδε - ταφου, iniuria opinor.

---

280. In Amorgo. Ross *Inscr. Ined.* 131. Franz *Mus. Rh.* III 93.

Χαίροις, πᾶσι βροτοῖς, Εὐτύχους γόν[ε], πᾶσι φιλητέ,
Καλότυχε, τε[χ]θε[ὶ]ς λυκάβαντας μ̄,
πλη[γ]εὶς ἐνκεφάλοιο κακὸν μόρον ἐ[ξ]ετέ[λ]ε(σ)σα[ς
ἐν μελάθροισι λιπὼν ἄλοχον καὶ νήπια τέκνα.

Lapis valde recens deae protome corona radiorum distincta insignis est, quae inter medias primi versus litteras insculpta est. Puto equidem Fortunae imaginem esse, quam, sicut etiam Pholegandri, Amorginis cultam esse docent praeter titulum apud Ross. *Arch. Aufs.* II 637, 3 plurima nomina Amorginorum cum voce τύχη composita. Neque inepte posita videbitur illius imago in Calotychi Eutychis f. sepulcro. — 1 ΕΓΟΝΟΝ Franz ἔκγονε. Corruptelae rationem non perspicio. — 2 ΤΥΧΕΤΕ ¦ ΘΕϹ Franz ζήσας. τεχθείς certum est *natus annos* XL, ut locuntur Byzantini. — μ̄ lege τεσσαράκοντα. — 3 ΠΛΗΠΕΙϹ — ΕΧΕΤΕΔΕϹΑΙ.

---

281. Minoae Amorgi. C. I. Add. II 2264 s.

Καλικράτης κεῖμαι τύμβῳ τούτῳ, παροδεῖτα,
πεντήκοντα ἕνα ζήσας σεμνῶς λυκάβαντας.
χαίροις παροδεῖτα.

III fere saeculi.

---

282. Minoae. C. I. Add. II 2264 r.

Ἡραὶς ἐνθάδε κεῖμαι ἐτῶν, ξένε, πεντάκις ἑπτά·
καὶ σοὶ παραινῶ συν[. . . . . οδῖ]τά, με
μὴ κλαῖε· μοιρῶν γὰρ μίτος πάντας καλεῖ.

Litterae ΕΙΝϹΑ — 2 quot litterae perierint incertum. Boeckh συνοδῖτα, quod ferri non posse vidit Buecheler. με pronomen quamvis dura structura ad verbum κλαῖε pertinet; neque enim verbum invenies cum σύν compositum, quod accusativum trahat. Fortasse συντυχοῦσ' *quandoquidem te nactus sum conloquentem.*

---

283. Prope Minoam. Ross *Inscr. ined.* 132.

Ἡ παναρίστη Σπούδη ἐνθάδε κεῖμαι ἐτῶν κᾱ.

---

284. Amorgo in insula. Henzen *Ann. Instit.* 1864 p. 104.

Χαῖρε παροδεῖτα.
Μὴ γελάσῃς, ξένε, μοῖραν· ὁρᾷς οἵαν [λ]έλονχα·
ἐνθάδ' ἐγὼ κεῖμε ἐπὶ τύμβῳ·
τοὔνομά μοι Τύχη ἑξήκοντα ἐτῶν.

1 ΑΝΕΛ corr. editor. — 3 pentameter.

---

285. Minoae. Lenormant *Mus. Rh.* XXII 291 n. 281.

Ἔνθα βλέπε[ις] τύνβον κεν[όν]· ἄταφος ὧδ[ε γέ]γραμμα[ι·
ἐ[λ]θὼν ἐν πεδ[ίῳ] ληστῶν ὑπὸ [χερ]σὶ τέτρωμαι·
οὔ]νομά μοι Δι[όνυ]σις, υἱὸς Ζωσίμο[υ κ(αὶ)] Λεαίνης.
τὸν τ[ρια]κονταέτη κλα[ίο]ις μόρον, ὅστις [ἀ]ναγνοῖ.

1 extr. ΜΑΤ et 2 init ΕΓ.|ΘΟΝ et 4 ΚΛΑ.'ΕΙϹ. Corr. et suppl. editor, nisi quod ἐλθών pro ἤλυθον Wilamowitz, κλαίοις pro κλαίεις ego scripsi.

---

286. In Co. C. I. 2509. Ex Loewii apographo Franz *Ann. Inst.* 1847.

Ζ]ώπυρος ὁ χ[ρ]ησ[τ]ὸς εὐσε[βῶς ζήσας βίον
θανὼ[ν] ἔνερθε τοῦδε σή[ματος πέλει,
πατρὸς Διοφάντου, Γα[βινίας δὲ μητέρος.

I fere saeculi. — 1 χρηστός Franz, cuius ceteris supplementis mea praetuli. — 3 ΓΑΥ vel ΓΑΓ apogrr. Nomen romanum, quod Wilamowitz invenit, si cui non placet, poterit de Γλυκερίου cogitare.

---

287. Cnidi. Newton *Discoveries* I tab. 92 n. 42. Duo fragmenta composuit editor.

Κεῖμαι το[ῖς γενέ]τ[αισι] φιλούμε[νος, ὠ]κύ[μορος] παῖς,
Πρειμέρως [ζή]σας [τρεῖς] ἐτέων δεκ[ά]δας,
ε]ὐφρασίῃ χά[ρισ]ιν τε γέλωτί τε πᾶν ταχ[ερ]ώσας
καὶ διὰ τοῦτο φίλοις πᾶσι ποθεινὸς ἐ[ών·
ἀλλά με μοῖρ' ἀφ'[ὁμαίμου ἐ]νόσφισεν, ᾧ γενέ[τειρα
εἰσάριθμον ζωῆς [κλῶσε] μίτοισι χρόνον.

II p. Chr. n. saec. — Supplevit editor v. 1 et v. 3, nisi quod ταχερώσας Heimsoeth invenit. — 5 recepi Wilamowitzii coniecturam γενέτειρα, quamquam elegantius fortasse poeta γενετῆρσι - μίτοισι scripserat.

---

288. Leucosiae Cypri. C. I. 2647. *Curiose* descripsit Waddington ap. Lebas VII 2771.

Κἂν τροχάδην βαίνῃς, φίλε ὦ παροδεῖτα, βαιὸν ἐπίσ[χου.
. . . ἀ[θ]ανά[των με] χορός· τὸ δὲ σῶμα καλύπτει
γαῖα, λαβοῦσα γέρας τοῦθ' ὃ δέδωκε πάλαι·
ἡ γάρ μοι ψυχὴ μὲν ἐς αἰθέρα καὶ Διὸς αὐλάς,
ὀστέα δ' εἰς Ἀίδην ἄτροπος εἷλε νόμος.
τοῦτ' ἔλαχον μέγα δῶρον ὑπ' αὐτῶν Οὐρανιώνων
Εὐλάλιος, γαμικὸς μοῦνος ἐνὶ φθιμένοις.

Recentioris aetatis indicium Eulalius nomen. Versu primo male adsuto exemplum bonum corruptum est. — 2 HBHCЄN.ANA . . . . . XOPOC Vidua, HTIC . . A . ANAI . . . . . XOPOC Wadd., unde ἀθανάτων - χορός certum est reiciendaeque omnes aliorum coniecturae. De verbo autem lis est. ἥρησεν Boeckh, ἥγνισεν Wilam. An εἴρυσεν, quod ἥρυσεν scriptum fuerit?

— 6 *hoc certe boni mihi praestitere caelestes: apud inferos tantum matrimonio paratus sum [scil. Proserpinae], i. e. in vita isto taedio liber fui.* Wilam.

---

289. Apud Heracleam Salbaciam Cariae. Lebas V 1696.

Ἀπολλωνίδη ἐσθλέ, σὲ μὲν γοάοντε γονῆε
μ]υρομένω θάψαν φέρ[τα]τον ἠίθεον,
δεξι]ὸν ἰητῆρα· μέγα στενάχουσι δ' ἑταῖροι
ὀκτωκαιδεκέτες ἄνθος ὁμηλικίης·
τόνδε δὲ βωμὸν ἔθηκε, πανύστατα δῶρα, Μένανδρος,
φεῖλος ἀδελφείου μηδενὶ λειπόμενος.

I fere p. Chr. n. saec. — 3 nescio cur Waddington ἔνδοξον ῥητῆρα scripserit. — 6 φεῖλος pro φιλία nove dictum.

---

290. Trallibus. Infra gladiatoris imago. C. I. Add. II 2942 c et melius Lebas V 613.

Ἐν κλεινοῖς Μέντ]ωρ ἔθανον στα[δίοις κατὰ μ]οῖραν
νεικήσας μὲν [πάντας· ἑλοῦσα] δὲ μοῖρα κραταιὴ
ἤγαγε [μ' εἰς Ἀίδη]ν, καὶ νῦν τύμβωι πρόκειμαι·
ἔσχα τ[έλος] βιότου χερσὶν φονίαις Ἀμαράντου.

Litterae ΕCωΑ. — 1 ΛΙLΝΙωΡ nomen, quod incertum est, invenit Wilam. — 2 ΜΕΝΙ — 3 sq. suppl. Boeckh, nisi quod Ἀμαράντου gladiatoris nomen feci.

---

291. Trallibus. Infra gladiatoris imago. C. I. Add. II 2942 b et melius Lebas V 614.

— — — — — — — — — — — — —
. . . . ὁ πυκ[τ]ε[ύ]σας [π]ο[λλ]άκις ἐν [σταδίοις·
ἀλλὰ τὸ πρὶν θνητὸς νίκην ἀπ'] ἐμοῦ λάβεν οὐδείς,
μοῖρα δ' ἐνίκησεν κρατερή·] ἐπέπρωτο γὰρ οὕτως,
Ε[. . . . . π]αλάμαισιν ἐμ[ὸ]ν νέκυν [ἔ]νθα ταφῆναι.

1 ΠΥΚΙΕΙCΑC corr. Waddington. — ΙΙΟΜΑΚΙC — 2 ΤΕΜΟΥ — 3 ΙΕΠΕΠΡ — 4 nominis genetivum ab initio fuisse Boeckh significavit. ἐ[ν μητρὸς π]αλ. Wilam. — ΕΜΕΝ.

292. Heracleae ad Latmum. C. I. 2898.

Τύ]μβος μὲν κρύ[πτ]ει με τὸν ἐν κόλπ[οισι] τραφέντα,
οὔ]νομα μὲν Πτολε[μαῖ]ον, ὁ γεννήσας δὲ Σέλευκος·
πεν]ταέτης δ' ἱκόμην Ἄι[δο]ς δόμον, οἱ δὲ γον[ῆε]ς
μύρονται κενεαῖς ἐλπ[ί]σι τειρόμενοι.
ὦ γονέες, τί μάτην κενεῷ πρὸς ψύχετε τύμβῳ;
μοιρῶν γὰρ κλωστῆρι τέλ[ος] βιότοιο τέτυκται.

Litterae fere vulgares. Supplevit Boeckh, nisi quod v. 3, ubi ΓΟΝΕΙΣ traditur, *γονεῖς με* scripsit. — 1 *τύμβος* et *κόλποι* frigido acumine inter se opponuntur. — 5 sententia simplex *τί μάτην τὸν κενεὸν καὶ ψυχρὸν τύμβον προςπτύσσεσθε* nimis quaesita frigidaque ratione expressa; confert Wilamowitz Eur. Alc. 353 *ψυχρὰν μὲν οἶμαι τέρψιν*, cui similia multa in epitymbiis.

293. Laodiceae. Froehner *Inscr. du Louvre* n. 189.

Ἐλπὶς ἔμοιγ' ὄνομ' ἐ[στί], πατρὶς δ' Ἀσίης προὔχουσα
Λαοδίκει', ἔθανον δ' ὀκ[τω]καιδεκέτις.

---

294. Alabandis. Lebas V 587.

Ν]ηρῆος τόδε [σῆ]μα διδασκ[άλου], ὅ[ς] ῥά τε [πα]ισὶν
γραμμάτων . . . .
— — — — — — — — — — — —
ζῆ.

1 . ΡΜΑ — ΟϹΡΑΤΕΓ . ΙϹΙΝ emend. Waddington, neque ego plura audeo in male traditis hisce *γραμμάτων* ΙΙΓΙ ϹΗΙΙΡѠϹ . . Γ . . . . . ЄΝΟΥΝЄΙ ΤΟΠΡΙΝΗΛ . . . ΟϹΝΙΟΙΙΙΙ
2 *γραμμάτων* curruptum sit an integrum, non diiudico.

---

295. In Icaria insula. Hirschfeld *Act. acad. Berol. min.* 1875 p. 10.

Δωδεκέτους τάφος εἰμὶ Φιλοκλέος, ὃν θέτο μάτηρ
ἀχνυμένα λυγρὸν παῖδα Φιλοκρατέα·
σχέτλιος, οὐδ' ἔφθη χλαμύδας περὶ χρωτὶ βαλέσθαι
οὐδ' ἐςιδεῖν Ἑρμῆν γυμνασίου πρόεδρον.

I vel II saec. — 3 cf. supra n. 114 *οὐκ ἔφθην χλαῖναν περὶ αὐχένι θέσθαι.*

---

296. Prope Ephesum. Lebas V 168. C. Curtius *Hermae* IV 207.

Πόπλιο[ν . . . . γῆ]ρως ἐπὶ τέρμα μολόντα
εὐσεβ[έ]ων χῶρος δέξατο, πᾶσι φίλον.
ἀσπάζεσθ' ἥρωα, τὸν οὐκ ἐδαμάσσατο λύπη.

Πόπλιος Καστ[ρί]κιος Ἀγαθεῖνο[ς],
Λεύκιος Λαίλιο[ς] Ἀστράγαλος,
Ὀγουλνία.
ζῇ.

II saec. Litterae Ρ et Ϲ antiquitatis speciem adfectant. — 1 ΠΟΠΛΙΟ Lebas. ΠΟ.Λ.....Δ... Curtius, post Ποπλ- quattuor vel quinque litteras ante Δ fuisse adfirmans. Errat de spatio Roehl *Sched. epigr.* p. 23, magisque a vero aberrat, quod supplendum putat Πόπλιον ἐν σταδίῳ γήρως κτλ'. Nam in stadio non itur, sed curritur. γήρως restitueram *Comment. Bonnens.* p. 21. Fuerit Πόπλιο[ν Αἴ]λ[ιανόν simile nomen. — 2 ΕΥϹΕΒΩΝ.

---

297. Ephesi. Lebas V 171.

Ο]ὐλιάδης κεῖται, παροδοιπόρε, τῶιδ' ὑπὸ τύμ[βωι
ὃς κλέος ἐν τῶι ζῆν πᾶσιν ἔδειξε ἀρε[τῆς·
ἦν γὰρ ἐν ἐργασίηι τε μέγας καὶ πᾶσιν [ἐρασ]θής,
οὕνεκεν εἰς Ἀίδου τήνδε χάριν φέρ[εται.

II fere saec. Litterae ΡϹ. Suppl. Waddington; at ἐρασθής v. 3 incertum.

---

298. Ad Teon. Lebas V 114 in commentariis Waddingtonis. Praecedit epigramma latinum *quis* (lege *qui*) *superos potui iuvenis laesisse penates* cet., cui praescriptum nomen defunctae editum C. I. 3111.

Ἰόπη χρηστὴ χαῖρε.
Τίς τοὐμὸν δύστηνον ἐπ' οὔνομα γράψε τὸ χαῖρε;
τίς κωφὴν ματέως θήκατό μοι χάριτα;
οὔτε γὰρ εἰσορόω λαμπρὸν φάος οὔτ' ἐςακούω,
ὀστέα καὶ σποδιὴ κειμένη ἐνχθόνιος.
π[υκνῶν] δ' ἀλλά, [πάτερ], θρήνων, φίλε, παύεο· μῆτερ
Πρειμιγένη, ἀπόθου θυμοδακεῖς ὀδύνας·
τῆς ἐπ' ἐμοὶ λύπης παραμύθιον ἐμφρεσὶ θέσθε
τοῦτον· καὶ μακάρων παῖδες ἔνερθεν ἔβαν.

Litterae vulgares praeter C in ΧΡΗCΤΗ. — 4 aperta imitatio versiculi Leonidae (Tarentini) A. P. VII 740 Αὕτα ἐπὶ Κρήθωνος ἐγὼ λίθος, οὔνομα κείνου δηλοῦσα· Κρήθων δ' ἐν χθονίοις σποδιά, ubi traditum ἐν χθονίοις, quod ne intellegi quidem potest, cedet tituli lectioni ἐνχθόνιος, quod disertis verbis testatur Waddington in ectypo se legisse. — 5 Π . . . . . ΔΑΛΛΑ supplevi. πυκνῶν incertum est; de δὲ ἀλλά v. Elmsl. *Heracl.* 565.

---

299. Circa Erythras. C. I. 3125.

Δειοκλῆ Λυσανείου χρηστὲ χαῖρε.
Εὐσεβὲς εἰς θρέψασαν, Διοκλῆ, ὁσιώτατε πάντων·
κουφοτάτης φίλτρον, ἃ λίθος, [εἶ φιλίης.

1 εἰς cum in fine versus positum sit, fortasse recte Boeckh τήν addidit. — 2 Boeckh κουφοτάτης φίλτρον [ἡ] λίθος [ἐστὶ ταφῆς], quae non intellego. Wilamowitz ἃ λίθος, ἐλπίδος εἶ. At queritur mater pro magna pietate se filio nil nisi lapidem, nimis tenue vilissimi amoris documentum, referre potuisse.

---

300. Circa Erythras. C. I. 3136.

Nomen defuncti] *χρηστὲ χαῖρε.*
Οὐ τὸ θανεῖν ἐστι κακόν· ἐπεὶ τόγε μοῖρ' ἐπέκλωσεν,
ἀλλὰ τὸ πρὶν ἡλικίης καὶ γονέων πρότερον.

Notissimum distichon inscite corruptum.

---

301. Chii. Anaglypho expressa mater cum filiis sedens. C. I. 2239.

Ἡ πᾶσιν μακάρεσσι βροτοῖσί τε προςφιλὲς αἰεί
ἀσπασίοισι λόγοις τὸν παριόντα νέμω·
εἰ δὲ θέλεις γνῶναι στήλλης τύπον, ὦ παροδεῖτα,
Θάλλουσάν μ' ἐςορᾷς· μητρὶ [δ'ἀποφθιμένῃ
τήνδε χάριν μνήμης Θάλλος [στήλλην ἐπέθηκεν,
τῆς] ἀρετῆς εἰδὼς ἱερόν . . . .

II fere saec. — 1 προςφιλές ferendum est. — 4 sqq. Boeckh praeeunte Iacobsio μητρὶ δὲ (ΜΗΤΡΙΣ) τήνδε χάριν - μνήμης Θάλλος [ἔθηκ'] ἀρετῆς εἰδὼς ἱερὸν δή. . . . quae parum videntur probabilia esse. — 6 ΙΕΡΟΝΛΗΜΨΜ si hexametrum credas fuisse, possis τῆς ἀρετῆς εἰδὼς ἱερὸν

μνῆμ' ἔμμεναι αἰεί, ut cum cippi vilitate virtutis monumentum sempiternum conparetur.

---

302. Chii. C. I. Add. II 2239 c.

— — — — — — — — — — — —
. . . . ἄνδρα Μένιππ[ον ἔχει·
ὅν γ' Ἑρμῆς ἐς νῆα] καθαρπασθέντα Χάρων[ος
ἤγαγε Περσεφόνης εἰς] σκοτίους θαλάμους,
. . . . ἀνύσαντα κελεύθους
— — — — — — — — — — — —

Litterae vulgares. — 1 subiectum est τύμβος simile. — 4 annorum numerus indicabatur.

---

303. Smyrnae. Anaglypho expressus senex sedens cogitabundus. C. I. 3397.

Ἄνθρωπος τοῦτ' ἐστί· τίς εἶ βλέπε, καὶ τὸ μένον σε·
εἰκόνα τήνδ' ἐσορῶν σὸν τὸ τέλος λόγισαι,
καὶ βιότῳ χρῆσαι μήθ' ὡς ἰς αἰῶνας ἔχων ζῆν,
μήθ' ὡς ὠκύμορος, ἵνα γηράσαντά σε πολλοί
μαστίξωσι λόγοις θλειβόμενον πενίῃ.

Litterae ornatae ΑΩΣ. — 3 [Isocr.] πρὸς Δημόν. 9 οὐδὲ τόν πλοῦτον παρακαίρως ἠγάπα, ἀλλ' ἀπέλαυε τῶν παρόντων ἀγαθῶν ὡς θνητός, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων ὡς ἀθάνατος coll. 32. Auson. ep. 145 ed. Bip.

---

304. In museo Smyrnaeo. Hirschfeld *Act. acad. Berol. min.* 1875 p. 9.

Εἰ πάλιν ἔστι γενέσθαι, ὕπνος ἐ[στὶν ὃς ἐνθάδ' ἔχει με
. . . . εἰ δ' οὐκ ἔστιν πάλιν ἐλθεῖν
— — — — — — — — — — — — —

Litterae eaedem. — *Si quidem est alterum vitae tempus, iam somnus me tenet, qui brevi post me dimittet; si minus, quid me meumque colitis sepulcrum?* — 3 init. ΛΙΓ fortasse nomen Διογένης.

---

305. Smyrnae. C. I. 3311.

Ἑρμογένης Χαριδήμου ἰητρείην ἀναγράψας

ἑπτὰ ἐπὶ ἑβδομήκοντ' ἔτεσιν καὶ ἴσαις ἐπὶ βύβλοις·

linea erasa

συνέγραψε δὲ βιβλία ἰατρικὰ μὲν οβ̄, ἱστορικὰ δὲ περὶ Ζμύρνης αβ̄, περὶ τῆς Ὁμήρου σοφίας ᾱ, καὶ πατρίδος ᾱ, Ἀσίας κτίσεων αβ̄, Εὐρώπης κτίσεων αβγδ̄, νήσων ᾱ, Ἀσίας σταδιασμῶν ᾱ, καὶ Εὐρώπης α, στρατηγημάτων αβ̄, πίναξ Ῥωμαίων καὶ Ζμυρναίων, διαδοχὴ κατὰ χρόνους.

Nihil aegrius factum quam quod hominis tam docti tamque diligentis ne aetatem quidem scire possumus. Litterae vulgares, quibus scriptus est titulus, etiam ad Severi tempora in usu fuerunt Smyrnaeis, C. I. 3178. Hermogenes medicos plures novimus, etiam Charidemum unum: utrqunue nomen in illa urbe creberrimum. Altero tamen p. Chr. n. saeculo vix titulus recentior est. — 3 argutius Boeckh LXXVII libros Hermogenem scripsisse ratus corrigit OZ.

---

306. Smyrnae protome. C. I. 3283.

Ἰητὴρ μεθόδου, Ἀσιατικέ, προστάτα, χαῖρε,
πολλὰ μὲν ἐσθλὰ παθὼν φρεσί, πολλὰ δὲ λυγρά.
Μ. Μόδιος Ἀσιατικός
ἰατρὸς μεθοδικός.

Disciplinae methodicae sectatores II saeculo Soranus et Caelius Aurelianus erant; eiusdem fere aetatis Asiaticus. — 1 μεθόδου προστάτης i. e. *methodicorum princeps*. Welcker *Syll.* 37 extr. — 2 Od. δ 230 leviter et ad rem mutatus.

---

307. Inter Smyrnaea in schedis Sherardianis. C. I. 3284.

Πύκτην ΑΑΣΚΕΠΟΝ λεύσσεις ἐμέ, τὸν κατέπεφνεν
Πάρδος ὁμοιείον τευξ[ό]μενος θανάτου.

Nomen Boeckh Ἄσκεπτον fecit, Wilamowitz Ἀδσκεῖτον coniecit, quae forma suspecta videtur. — 2 ΤΕΥΣΕΜΕΝΟΣ Boeckh τευξάμενος. Fuerit ΤΕΥΞΟΜΕΝΟϹ. ὁμοίιον θάνατον ab Homero mutuatus est mutato tamen significatu.

---

308. Smyrnae. Anaglypho duo exsculpti homines, alter lorica indu-

tus equo insidens, alter nudus equum frenis cohibens. Lebas V 29.

Καρπόφορος [πάντ]ων στ[ρατιωτῶν τεῦξεν ἀρίστῳ
Νηπίῳ, ᾧ χαίρειν ε[ἰπὲ] παρερχόμενος·

Anaglyphum cum militis prodat sepulcrum, non pueri, Νήπιος nomen videtur esse quamvis haud boni ominis. — 2 ϵ... CΠΛΙ corr. Waddington.

---

309. Smyrnae. C. I. 3310.

Ἄλλος ἔχει πλοῦτον, κἀγὼ τόδε σῆμ' ὁ γεραιός
Ἑρμιανὸς χαρτάρις ἔσω κοίλης κατὰ πέτρας
πάντειμον, πολύευκτον, ὅπερ ποίησα προκρείνας
μᾶλλον ἔχειν πλούτου, καὶ τεθνεὼς ἄγαμαι.

3 πολύτευκτον corr. Boeckh; at vide ne πολύ τ' εὐκτόν scribendum sit.

---

310. Smyrnae. Lebas V 1529.

Πολλὰ πονησάμενος βιότου [πρὸς τέρμαθ' ὁδεύσας
σὺν γαμετῇ ἀλόχῳ Λαοδ[ίκῃ ἔθανον·
κεῖμαι δ' εἰν Ἀίδῃ ζοφερὴν ἐπικεί[μενος ἄχλυν
μητρὶ λιπὼν πένθος λυγρὸν [ὀδυρομένῃ.
ἀλλά γ', ἐμαὶ ψυχαί, δύ' ἀδελφι[δ]έ[οι . . . . . .
χαίροιτ' εὐσεβίης εἵνεκεν εἰ[ς φθίμενον,
στήλῃ τειμήσαντες ἐμὸν τά[φον ἀθανάτοις τε
Πιερίσιν· πάπποι δ' ἔλθετ' ἐπ' [εὐτυχίην.
Ἀσκληπιόδωρε Δίωνος χαῖρε.

Epigramma satis elegans I vel II saeculi. — 3 Waddington ἐπιείμενος ἄχλυν recte fortasse; idem supplevit v. 7 et correxit v. 5 ΦΙΛΕ.. addito συνόμαιμοι. At nec hoc placet neque quod Wilamowitz coniecit δύο κοῦροι. — 4 suppl. Wilam. — 8 sententiam restitui quae est ap. Antip. Sid. A. P. VII 164 ἔλθοι ἐς ὀλβίστην πολιὴν τρίχα.

---

311. Smyrnae. Anaglypho iuvenis expressus tunicatus adstante cane. Lebas V 1532.

Ζητεῖς, ὦ παροδεῖτα, τίς ἡ στήλλη, τίς ὁ τύμβος,
τίς δ' ἡ ἐν τῇ στήλλῃ εἰκὼν νεότευκτος ὑπάρχει·

υἱὸς Τρύφωνος τοὔνομα τἀτὸν ἔχω·
τεσσαρακαιδεκέτη δόλιχον βιότου σταδιεύσας
τοῦϑό ποτ' ὢν γέγονα στήλλη, τύμβος, λίϑος, εἰκών.

Litterae vulgares praeter ω. — Incredibile quantum interpretes de vv. 2 et 5 erraverint: v. 5 τοῦϑο (i. e. τοῦτο) anaglyphum monstrat.

---

312. Smyrnae. C. I. 3398.

Νὺξ μὲν ἐμὸν κατέχει ζωῆς φάος ὑπνοδοτείρη,
ἀλγειν[ῶ]ν λύσασα νόσων δέμας ἡδέι ὕπνωι,
λήϑης δῶρα φέρουσ' ἐπ' ἐμοὶ προςτ[άγ]μασι μοίρης·
ψυχὴ δ' ἐ(κ) κραδίης δ[ρ]άμ' ἐς αἴϑερον εἴκελος αὔρηι,
κοῦφον ἐπαιωροῦσα δρόμ[ωι] πτερὸν ἠέρι πολλῶι,
καί με ϑεῶν μακάρων κατέχει δόμος ἆσσον ἰόντα,
οὐρανίοις τε δόμοισι βλέπω φάος Ἠριγενείης.
τειμὴ δ' ἐκ Διός ἐστι σὺν ἀϑανάτοισι ϑεοῖσι
Ἑρμείαο λόγοις· ὅς μ' οὐρανὸν ἤγαγε χειρῶν
αὐτίκα τειμήσας καί μοι κλέος ἐσϑλὸν ἔδωκεν
οἰκεῖν ἐν μακάρεσσι κα[τ]' οὐρανὸν ἀστερόεντα
χρυσείοισι ϑρόνοισι παρήμενον ἐς φιλότητα
καί με παρὰ τριπόδεσσι καὶ ἀμβροσίῃσι τραπέζαι[ς
ἡδόμενον κατὰ δαῖτα ϑεοὶ φίλον εἰςορόωσιν,
κρατὸς ἀπ' ἀϑανάτοιο πα[ρηῖ]σι μειδιόωντες,
νέκταρ ὅτ' ἐν] προχοαῖσιν ἐπισπένδω μακάρεσσι.

Litterae traduntur vulgares. — 2 ΝΟΝ et 11 ΚΑΙ corr. Salmas. — 3 ΠΡΟΣΤΕΡΜΑΣΙ et 5 ΔΡΟΜΟΥ correxi. — 4 ΔΙΑΜ δράμ' ἐς αἰθέρ' ἐπείκελον ἀ. Iacobs; ego non dubitavi heterocliton αἴθερον accipere. — 15 ΠΑΤ ΡΗΣΙ corr. Boeckh, idemque supplevit v. 16.

---

313. Inter Smyrnaea traditum. C. I. 3344.

a. *Δμωὰν Δωροϑέας μετὰ χείρ[εσ]ι τὴν ὁμόδουλον*
παρϑένον εἰς Ἀίδην ϑάπτον ἀπερχομέναν·
ἄρτι δέ το[ι], πανάωρε, χοὰς χείουσαι ἀπόδημον
νυμφίον ἐκ πελάγους εἶδον ἐπερχόμενον·
ἀλλ' ὁ μὲν ἐνγὺς ἔτλη καὶ σ[τ]ήμεναι καὶ ἐπιδακρῦσαι,
τοῦ δὲ [σ]ὺ μηδ[ὲ]ν ἔβης ἐ[σ]ϑομένα εἰς Ἀίδα[ν.

b. *Οὔνομα μὲν Μακέταις ἐπιχώριον· οὕνεκα μεμφθῇ*
μηδὲ ἑνί· Κοπρίαν μ' ὠνόμασαν γενέται·
οὐ γὰρ ἄτειμος ἔην παρὰ δεσπόταις, ἀλλά μ' ἔθ[ρ]ε[ψ]αν
αὐτοί, καὶ κοῖτον χερσὶν ἐμαῖς κομιεῖν
δῶκαν τιμήεντα· [τ]αχὺς δέ με παρθέν[ον] οὖσαν
δαίμων ἰς Ἀίδην πένψεν ἀμειλιχί[ω]ς.
ἀλλὰ καὶ ὣς τε[θ]νῶσαν ἐτείμεον ἐνταφίοισιν
καὶ τύνβον γράψαν μνημοσύνης ἕνεκεν.

Infimae aetatis epigramma multis litterarum compendiis pessime sculptum. — 1 ΜΕΤΑΧΕΙΡΙΟΙ alii explicare, ego emendare studui: subiectum facile ex voce *ὁμόδουλον* repetas. — 3 ΤΟΝ 5 CYH 6 ΙΥΜΗΔCΝ — ΑΙΔΑΧ 13 ΤΕΟΝWCΑΝ corr. Hermann *Opusc.* IV 303. — 3 h. e. *funus curantes.* — 6 ΕΥΘΟΜΕΝΑ *πευθομένα* Boeckh. *ἐσθομένα* est *αἰσθομένα.* — 9 ΕΦΕΥΑΝ corr. Iacobs. — 11 ΚΑΧΥC et ΠΑΡΦΕΝΟΥCΑΝ corr. Welcker *Syll.* 100. — 12 ΧΙΗC adverbium reposui; scribebant *ἀμειλίχιος.* W forma ubique utitur lapidarius.

---

314. Smyrnae. C. I. 3272.

Θεοῖς ἥρωσιν.

Λεύκιος Μινίκιος Ἄνθιμος καὶ Σκρειβωνία Φηλεικίσσιμα ἀτυχεῖς γονεῖς Λ. Μινικίῳ Ἀνθιμιανῷ τέκνῳ γλυκυτάτῳ καὶ θεῷ ἰδίῳ ἐπηκόῳ ζήσαν(τι) ἔτη δ̄ μῆνας ε̄ ἡ(μέρας) κ.

Νήπιός εἰμι τυχὼν τύμβου τοῦδ', ὦ παροδεῖτα·
ὅσσ' ἔπαθον δ' ἐν βαιῷ τέρματί μου βιοτῆς,
ἐνκύρσας λαινέᾳ στήλλῃ τάχα καὶ σὺ δακρύσεις.
μητρὸς ὑπ' ὠδίνων ὡς εἰς φάος ἤγαγον Ὧραι,
ἐκ γαίης με πατὴρ ἐμὸς εἵλατο χερσὶ γεγηθώς
καί μ' ἀπέλουσε λύθρου καὶ εἰς σπάργανά μ' αὐτὸς ἔθηκεν,
ηὔχετο δ' ἀθανάτοις, ἅπερ οὐκ ἤμελλεν ἔσεσθαι·
Μοῖραι γὰρ πρῶται περί μου κεκρίκεισαν ἅπαντα·
καί μ' ἔτρεφεν γενέτης μητέρα μου τροφὸν εἰλάμενος.
αὐτίκα δ' ηὐξανόμην εὐερνὴς καὶ πᾶσι ποθητός·
ἐν δ' ὥραις ὀλίγαις μοιρῶν σφραγεῖδες ἐπῆλθον,
αἵ με νόσῳ πῆξαν χαλεπῇ διδύμους πέρι·
ἀλλ' ὁ ταλαίφρων γεννήσας ειάσατό μου νόσον αἰνήν,
τοῦτο δοκῶν ὅτι μοῖραν ἐμὴν εἰάμασι σώσει.

καὶ τότε δή μ' ἑτέρα νόσος εἷλε κακίστη,
τῆς προτέρης νούσου πουλύ τι χειροτέρη·
σῆψιν γὰρ [λαι]οῦ πεδίον ποδὸς εἶχεν ἐν ὀστοῖς,
εἶτ' ἔταμόν με φίλοι γενέτου καί μου ὀστέ' ἀνεῖλαν
λύπας καὶ στοναχὰς τοῖς μου τοκέεσσι διδόντα,
καὶ ταῦθ' ὡςαύτως ειάθην πάλιν, ὡς τὸ πάροιθεν·
οὐδ' οὕτως μου γένεσις δεινὴ πλησθεῖσ' ἐκορέσθη,
ἀλλ' ἑτέραν πάλι μοι νόσον ἤγαγε γαστρὸς μοῖρα,
σπλάγχνα μου ὀγκώσασα καὶ ἐκτήξασα τὰ λοιπά,
ἄχρις ὅτου ψυχήν μου μητρὸς χέρες εἷλαν ἀπ' ὄσσων·
ταῦτ' ἔπαθον βαιῷ τέρματί μου βιοτῆς, ξένε,
καὶ κατέλειπον τηκεδόνα σ[τυγερὴν] τοῖσί με γειναμένοις,
αἰνόμορος, λείψας τρεῖς συνομαίμονας ἀστεφανώτους.

Anthimum patrem medicum fuisse minime certa est coniectura; immo mirum si medicus III fere saeculi, quo tempore omni litterarum generi dediti erant medici, tales sordes sui pueruli tumulo inscribi passus esset. — Edidi fere Boeckhii exemplum, a quo raro discessi: 3 cum Sponius CΤΕΛΛΗ, Tetius στήλλη, CΤΗΛΗ e Bullialdi schedis saepius interpolatis Reinesius habeat, στήλλη formam sat certo traditam puto; delevi praeterea cum Iacobsio v. 11 γάρ, quod post μοιρῶν lapicidae error ex v. 8 repetierat. — 12 πῆξαν retinui; correxere πλῆξαν. — 17 ΜΟΥ quod egregie correctum a Iacobsio recepi, quo et rei aliquid momenti accederet et numeri fulcirentur. — 21 γένεσις idem videtur quod *genitura* Suet. *Oct.* 94 vel ἡ τῶν ἄστρων διάταξις ὑφ' ὧν ἐγεγέννητο Cass. Dio LVI 25. — 24 μου servavi; deest in schedis Bullialdi. — 26 ΤΗΚΕΔΟΝΑC..... ΤΟΙCΙ omnes praeter Bull., ut de sua coniectura quamvis vera Reinesius στυγερήν supplevisse putandus sit.

---

315. Smyrnae. Ex codice Askewiano C. I. 3365.

Αἰθὴρ] εὐσεβέα ψυχήν, κούφη κό[νις ἔσχεν
σῶμα· πατὴρ Διοφῶ]ν, οὔνομ' Ὀνησίμη ἦν.
κάτθαν]ε δ' ὀκτωκαιδεκέτις . . . .
ἐφθάσθη μοιρέων ἐς τ[έλος αἴδιον.

Supplevi. — 3 ΕΤΙΣΠΗΩ... fuit dativus ut in titulo C. I. Add. II 2113 c. ἐφθάσθης, δύστηνε, Τύχης δηλήμασι.

---

316. Smyrnae. Pocockii pessimum apographum C. I. 3388.

Ἔνθα σορὸς κατέχει κλυτὸν οὔνομα, παῖδα Τ[ρ]ύφωνα,
ὃ]ν [θ]ρέψεν Τροφιμᾶς πολυώδυνος ἐλπίσι λιφθείς·
μάμμη] δ' Εὐτυχία μασ[τοὺ]ς κατεκόψατο, οἷς ἔτρεφέν σε
Μοίραις, [κ]αὶ φθιμένους ὀκταέτης ἔ[μ]ολες.

1 Τύφωνα quod traditur retinet Welcker *Mus. Rh.* 1832 I 291. — 2 . ΝΡΕΨΕΝ et 3 ΜΑΣΟΡ . Σ corr. Boeckh. — 3 init. ΑΜΜΑΣΔ Boeckh ἄλλως δ'. — 4 ΜΟΙΡΑΙΣΑΙ — ΕΝΟΠΟΛΕΣ Boeckh καὶ φθιμέν[οις], οὓς ὀκταέτης ἐνόπ[ωπα]ς. Incertam esse meam emendationem scio.

---

317. Prope Smyrnam. Lebas V 27, cuius ipsum apographum exhibebo.

ΗΠΕΙΣΑΝΙΟΣΙΟΝ . . Ι
ΕΙ . ΗΣΑΣΕ . ΕΝ
ΑΣΙΣΑΡΑΝΕΡΩ
ΟΥΠΟΤΕΟΡΑΓΑΙΑΝΑΡΩΝΜΑΙ
ΜΩΝΜΕΙΖΩ . ΙΕΣΑΙΝΕΙΙ

Nihil fere dispicio praeter haec:

. . . . *οὔποτ' ἑώρα*
γαῖ' ἀνδρῶν μα[κάρ]ων μείζο[να . . . . . .

ἡ μακάρων γῆ Erythrae urbs est, utpote condita ab Erythro Rhadamanthi filio; fortasse latius patens hoc nomen etiam ad Smyrnaeos pertinebat. Extremae litterae v. 5 eaedem videntur quae minus corruptae leguntur v. 1 ΠΕΙΣΑΝΙΟΣ, unde nomen viri fuisse conicias; Πεισάνιος, quod non intellego, dubito num fuerit. — 3 Ἀσὶς ἀπ' ἀνέρο[ς? sed hoc quidem est nugas agere.

---

318. Prope Smyrnam. C. I. 3399.

[Nomen defuncti]
ζ]ήσας [ἔ]τη κ̄. [μ. θ̄. ἡ. ε̄.]
συνζύγο[υ] παλάμα[ι]ς [κ]ι[μη]θὶς ἐνθάδε κῖ[με,
πολλὰ καμών· νείκης δὲ βραβῖον ἔχο[ν]τα
μῦρα κατήγαγεν ὧδε.
Ἀσκληπιοδότη ἀ[νδ]ρὶ ἰδίῳ μν[ί]ας χάριν
ταῦτα ἐ[ποίη]σ[εν]· χρησ[τὲ χαῖρε.

1 ΙΙ ΙϹ | . . . . Κ . ΤΟΡω unde Νικήφορος fortasse nomen fuit. — 2 ϹΤΗΚ

|NO+C et 3 ΜΑΤCΑΙΝΠΘΙC correxi. — 6 ΑΝ|ΑΡΙ et 7 ΕΙΙΕΤΙΒΙ corr. Boeckh, qui extrema quoque supplevit.

---

319. Philadelphiae. C. I. 3435.

Ξανθίππην Ἀκύλας μνήμῃ βίοτου παρέδωκεν
βωμῷ τειμήσας σεμνοτάτην ἄλοχον,
παρθένον ἧς ἀπέλυσε μίτρην, ἧς ὥριον ἄνθος
ἔσχεν ἐν ἡμιτελεῖ παυσάμενον θαλάμωι·
τρεῖς γὰρ ἐπ᾽ εἰκοσ[τ]οῦ τελέωσε βίο[υ] ἐνιαυτούς
καὶ μετὰ τούσδ᾽ ἔθανεν τοῦτο λιποῦσα φάος.

I potius quam II saeculi. — 3 *παρθένος* adiectivum satis quaesitae est dictionis; minus elegans *ἔσχεν - παυσάμενον*. Homericum *ἡμιτελὴς δόμον* multi imitati sunt (Il. B 701), velut Catullus 68,75 *advenit Protesilaeam Laodamia domum inceptam frustra.* — 5 ΕΙΚΟΣΙΟΥ et ΒΙΟΝ omnes, nisi quod unus Smith ΒΙΩΣ. Boeckh *ἐπ᾽ εἴκοσι οὗ - βίου*, alii peius etiam.

---

320. Thyatiris. C. I. 3511.

a. *Α]ὐτὸ[ς] Ζεὺς Κρονίδης [ὑψ]ίζυγος αἰθέρι ναίων*
σ]ῶμα [π]υρὶ φ[λ]έ[ξ]ας στέρνων ἐξείλετο θυμόν·
οὐκ ἤ[μην] βροτός· [ἰ]θὺ [π]αρέσ[την μ]ητέρι σεμνῇ
νυκτὶ μελαινοτάτῃ ἑρμηνε[ύ]ουσα τάδ᾽ οὕτως·
μῆτε[ρ] Μελιτίνη, θρῆνον λίπε, παῦε γόοιο,
ψυχῆς μνησαμένη, ἥν μοι Ζεὺς τε[ρ]πικ[έρ]αυνος
τεύξας ἀθ[ά]νατον καὶ ἀγήραον ἤματα [π]άντα
ἁρπάξας ἐκόμι[σσ]᾽ εἰς οὐρανὸν ἀστερό[εν]τα.

b. — — —˙ — — — — — — — —
. . . *ν ἀναστήσας μ* . . . *αν τέκνοιο δα* . . .
μητρ]ὸς Μελιτίνης· [ἣ δ᾽ εἶπ]εν ἔπος τοιόνδε·
ἤλ]υθον ἔνθα Διός [μ᾽ ἕδρ]αισι καθείδρυσεν [Ἑρμῆ]ς
ημα . . *ιδι πα* | . . *εφυ Ασκληπι* . . . | . . . . *ειτοολ* . *ιο* . . |
. . . . *νπᾶσιν* . . . | . . *[ἀν]θ[ρ]ώποις* . | . . . . . *σ* . . .

Apographa duo sunt, unum Peissonellii, alterum Sherardianum in cod. Askew., quae ita inter se differunt, ut modo hoc modo illud una alterave littera sit auctius. Prius carmen certa ratione restituit Boeckh,

de altero, quod in eodem Lydis vel maxime familiari argumento versatur, desperandum esse videtur. — 1 . ΥΤΟΥ — . ΕΙΖΥΓΟΣ — 2 ΓΥΡΙΦ ΑΕΣΑΣ — 3 ΗΙ . . . — ΓΑΡΕΣΙ . . 6 ΤΕΙΠΙ — 7 ΑΘΗΝΑΤΟΝ — 8 ΑΣΤΕΡΟ | ΤΑΣ. In altero fragmento hoc intellego ab initio plura periisse; dein mater videtur *μ[οῖρ]αν τέκνοιο δα[ῆναι*, quamquam genetivus *μητρός* quo spectet non video. — 2 ΕΛ | . . ΗΕΝ *ἦ δ' εἶπεν* Boeckh, idemque *Ἑρμῆς* supplevit. Ceteris abstineo.

---

321. Inter Sardes et Philadelphiam. Lebas V 640.

Ὁ δῆμος ἐτείμησεν Μενεκράτην Διοδώρου χρυσέῳ στεφάνῳ, τὸ δὲ μνημεῖον κατεσκεύασεν Τατία Ἀπολλωνίου ἡ γυνὴ τοῦ Μενεκράτους· Μενεκράτης καὶ Ἄμμιον τὸν ἀτῶν πατέρα ἐτείμησαν.

Ὄλβιον ἐνθέμενος βίοτον καρποῖς ἐπέχαιρον
βῶλον ἐπιψήχων πυροφόροις βοτάναις·
αἱ] δέ με χεῖρες ἔπα[υ]ον ἀπ' [ἔ]ργεος, ἡνίκα θερμα[ί
ἀκτεῖνα[ι] προλίποιεν ἐφημερίων καταδῦσα[ι,
γηθοσύνῃ Δήμητρος ἀγαλλόμενον ἐχέτλησιν·
ἄφνω δ ἐν προκοπαῖς ἔλιπον βίον εἵνεκα μοίρης,
ἁρπαχθὶς τέκνων [ἠδ'] ἀλόχου γλυκερῆς,
ἥτις ἐμοὶ μὲ[ν] ἔνειμε τά[δ]' ἔξοχα δῶρα καμόντ[ι,
στεψαμένη καμάτου οἶκον ἐναίδιον,
καὶ θρήνοις κλαύσασα πολὺν χρόνο[ν οὐ λάβεν ἄνδρα,
ἠρεμίην κοίτης εἰς τέλος ἀραμέ[νη.
παῦ]σον δ' ὠδείν[ουσ]α [κα]ὶ . . . .
— — — — — — — — — — — —

Haud ita multo post a. 171, si quidem recte illum *Μενεκρατην Διοδώρου*, qui est in titulo C. I. 3438 haud procul invento, eundem esse statui. — 3 ΗΔΕ correxi. — ΕΠΑΙΟΝ — *ἔργος* nomen minime coniectura temptandum. — ΘΕΡΜΑ et ΑΚΤΕΙΝΑΠΡΟ v. 4 non video qua alia ratione emendari possint; *ἀκτείνη* forma adhuc ignota, at valde credibilis coll. *ἰκτίς* et *ἰκτῖνος*. Lobeck *Paralip*. p. 170 sq. *προλείπω* intransitivo sensu optimo cuique scriptori usurpatum hoc loco genetivum trahit *ἐφημερίων* i. e. mortalium. — 8 ΜΕΜΕΝΕΙΜΕΤΑΕΞΟΧΑ corr. Buecheler. — 10 sententia certa; fortasse praestat *οὐ λάβεν ἄλλον*. — 12 *παῦσον* Waddington; dein haec

Δ'ΩΔΕΙΝΩ . ΞΑΡΧΙ ΙΝΟΝΟ
ΝΕΜΟΥΠΕΡΙΟΝΤΟΣ
ΜΕΝΗΜΓ⁻/

in quibus duo ille distinguere videtur: *ἐμοῦ περιόντος* et - *μένη μετὰ μοῖραν ἐμήν*.

---

322. Prope Sardes. Anaglypho virgo exsculpta est dextra florem tenens. Ex Keppelii apographo C. I. 3440, ex Steuarto Welcker *Mus. Rh.* III 245 n. 18.

Χαίροις, ὦ παροδεῖτα, τειμῆς ἰςάκουσον ἐμεῖο·
οὔνομα δὴ Γλυκίαν ἐςορᾷς ἐμὲ παρθένον οὖσαν·
τήνδ' ἄρ' ἐμὴν νεότητα πατὴρ Παιδέρως ἐνέγραψεν·
καὶ μήτηρ Γλυκία καὶ Τειμογένης ὁ ἀδελφός,
μήτρωνες Μάρκος καὶ Νεῖκυς, ἑ δέ τε μάμμα[ι
Τιμογενὶς κα[ὶ Τ]ύχη τὴν ἔγγονον ἐτειμήσαντ' ἐμὲ ἣν οὔποτε
ἤλπισα τειμήν.
ἔτους $\overline{\text{σϙθ}}$ μηνὸς Δείου . . . .

Annus epochae Sullanae est 299, p. Chr. n. 214, mensis primus, diei nota mutila apud Steuartum . PI — 5 *μήτρωες* Welcker; retinui Steuarti lectionem. Μηίονες Keppel. — 6 ΚΑΠΥΧΗ Steuart. *καὶ ψύχη* ex Keppelio Boeckh et Welcker. — EMEN pro EME nisi barbara forma est, erravit lapicida.

---

323. In Saittis Lydiae oppido. Ex Hamiltonis apographo (*Researches of Asia Min.* n. 339) Lebas V 1668.

Ἔτ(ους) $\overline{\text{σξ}}$. μη(νὸς) Γορπιαίου $\overline{\text{β}}$[ι.
Μητρᾶν ΕΞΛΗΟΥ ἔχι τάφος οὗτος ἄλυπον
ἄσβ[ε]στον λύπην πᾶσι λιπόντα φίλοις.

Annus Sullanae epochae est 260, p. Chr. n. 175, mensis undecimus, diei nota sic tradita $\overset{T}{B}$. Welcker *Mus. Rh.* III 253 legit *τῇ β'*. Probabilius $\overset{I}{B}$ corrigitur; nam BI pro IB usitata est scriptura. — 1 patris sive patriae nomen corruptum.

---

324. In Thaso. Ex Prokeschii apographo C. I. Add. II 2161 b (coll. p. 184) et vv. 5 — 8 misere interpolati ex schedis eiusdem inter titulos Thyatiranos C. I. 3519.

Σῶμα κόρης ἁρπαχθὲν ἀ[μει]λι[χίω]ν ὑ[π]ὸ [μ]οιρ[ῶ]ν

παρθένου ἀνθοφόρου τύμβος ὅδ' ἐγκατέχει·
ψυχὴ δ' ἀθανάτων βουλαῖς ἐπιδήμιός ἐστιν
ἄστροις καὶ ἱερὸν χῶρον ἔχει μακάρων·
οὐδὲ πικρὸν μοιρῶμμίτον ἔκ[φυγεν], οὐδ' [ἐ]δυ[ν]ήθη
ἀνθού[σ]η[ς] ὥρ[ης . . . .
ἀλλὰ τρισκαιδεκάτου π[ερ]ι[τελλο]μένου [ἐνι]αυτοῦ
γειναμένο[ι]ς [μ]έγ[α] π[ένθ]ος ἑο[ῖ]ς [κατέ]λειψε τοκεῦσιν.
Αὐρ[ηλ]ί[α Θεαν]ὼ Ἡροδότου προςφιλὴς χαῖρε.

Litterae recentissimae. Videtur titulus aliqua ex parte lectu difficillimus. — 1 ΑΝΗΛΙΚΩΝΥCΙΟΗΟΙΡΙΝ correxi; simile quid Boeckh ἀνηλίκων ὑ. μ. C. I. Lat. I 1009, 12 *en hoc in tumulo cinerem nostri corporis infistae Parcae deposierunt carmine.* — 2 ἀνθοφορία sacrum quoddam munus est, quod ad Cereris religionem pertinuisse videtur. Eadem enim mulier quae C. I. 2162 ἀνθοφόρος dicitur etiam τιμοῦχος audit, quod est Cereris καλλιστεφάνου cognomen h. Cer. 268; quo probato veri simile est poetam v. 1 sq. defunctam cum ipsa Proserpina conparasse, quae simili modo ἀνθοφοροῦσα rapta est a Plutone ἀμειλιχίῳ θεῷ. — 5 ΕΚ . . . . ΠΟΥΔΡΔΥΙΙΗ ΘΗ ἔκφυγεν Boeckh, ἐδυνήθη Buecheler. — 6 ΑΝΘΟΥΓΗΙΩΡΙ . . ΒΑΡΧΟCΑΙΕ . . . . coni. Buecheler καρπὸν ἀποδρέπεμεν, minus placet quod Wilamowitz proposuit ἁρμόδι' ἔργα τελεῖν coll. Solon. 24,6. — 7 ΠΗΙΣΜΕΝΟΥΠΠΑΥΙΟΥ corr. Welcker *Mus. Rhen.* 1832 p. 286 idemque v. 8 restituit, ubi ΜΕΝΟC . . ΕΓΛΠCΡΙΟΟCΕΘΜ . . . Subscripta ΑΥΡΠΑΙΔΟCΗΡΩΗΡΟΔ κτλ'. corr. Boeckh.

---

325. In Thaso. Conze *Itin. insular. maris. Thrac.* tab. VIII coll. p. 31.

a. Κατίλλιο[ς θύγατρ' ἔθαψεν ἐν χθονί
Δημητρίᾳ τόδ' ἐπὺ [δω]μήσας λίθον
ἀγλ]άισμα λέκτρ[ων· ἀλλ' ἄγαν σμικρὸν μέρος
ζωῆς παρ[έ]σχεν ἐν [βρ]ο[τ]οῖς μοιρῶν νόμος.

b. Εἰ καὶ χηλὸς ἔχει δέμας [ἀγ]λ[α]όν, αὐτὰ[ρ ἐ]ς αἴ[θρη]ν
ψυχὴ ἔβη ἐμέθεν· φθένξομ' ἀ[ρ]ιφραδέως·
ἠιθέοις γὰρ ἔδωκε θεὸς μετὰ μοῖραν ὀ[λέθ]ρου
ὡς ζώουσι λαλῖν πᾶσιν ἐπιχθονίοις.
οὔθ' ἅμα παρ[θ]ενικῇσιν ἐγὼ χορὸν εὐρὺν [ἄθ]υ[ρο]ν,
(ἤκαχε γάρ με λυγρὰν μητέρ' ἀποφθίμεν[αι),
οὔτε με νυμφοκόμοις θαλάμοισιν ἐς[ήγ]α[γ]ε Νόσ[σος
κουρίδιον γενέτης πρὸς πόσιν ἐρ[χ]ομένην·
ἀλλ' ἔτι μ' ἀδμήτην, ἀταλόφρονα, μοῖρ' ἐκίχ[α]ν[ε]ν

Χρυσίδα καὶ γαμίης ἐλπίδος ἐστέρεσεν.
αἰδίου μνήμης τύμβον ἐπαι[ρόμεθα.

Litterae ornatissimae quales in titulo Thasio C. I. 2162, qui cum nomina Αἴλιος et Αἰλία habeat altero fere p. Chr. n. saeculo scriptus videtur: eiusdem aetatis epigramma esse puto. — 1 post Κατίλλιος spatio 18 fere litterarum intermisso ΗΣ legitur. — 2 ΣΠΥΛΛΙΜΗΣΑΣ et 4 ΠΑΡΣΣ ΧΣΝΣΝΣΝΙ . ΦΙΦΙΣ correxi. — 3 ΛΙΛΛΙΣΜΑΛΕΚΙΡ .. ἀγλάισμα Wilamowitz. Significatur sarcophagus magnifice exornatus. — 5 ΛΙΛΛ◡ΝΑΥΤΑΙΞΣΑΙΦΙΙΙΝ et 7 μοῖραν ΟΑ .. corr. Wieseler. Ceterum conferri potest πείρατ' ὀλέθρου et μοίρῃ θανάτοιο. Rem ipsam non novi. — 9 ΠΑΡΦΣΝ κτλ'. — ΛΟΥ .. Ν corr. Wieseler. — 10 extr. ΜΣΝΙ//// corr. Sauppe; fuerit ἀποφθίμενε. — 11 ΕΣ .. ΙΛΚΕΝΟΣ Wieseler ἐξεῖλκεν, quod displicet de patre dictum; ἐξήγαγεν satis certum puto, incertum vero, nomen fuerit necne. — 12 ΕΡΥΟΜΕΝΗΝ — 13 ΧΛΝ . Ν — 15 versus multo magis sinistrorsum scriptus, quo adpareret extra epigrammatis fines positum esse, miro utique modo; in fine ΕΠΛΙ///// Sauppe ἐπλησάμεθα, cui meum praetuli.

---

326. In Thasi portu qui Panagiae vocatur. Miller *Rev. archéol.* 1866 II 58.

Αὐρ. Φίλιππος Φιλίππου Ἀβδηρείτης ζῶν ἔτι κατεσκεύασεν
ἑαυτῷ καὶ γυναικὶ Ἀντωνείνῃ καὶ τέκνοις ἑαυτοῦ,
ε]ὖ εἰδὼς κληρονόμων τὴν ἐπιλησμοσύνην
καὶ κοινοῦ θανάτου μνημόσυνον προβλέπων.
εἴ τις δ' ἕτερος ἕτερον βουληθῇ καταθέσθαι πτῶμα, οὗτος δώσει
τῇ Θασίων πόλει (δην.) ,β καὶ τῷ ἱερωτάτῳ ταμείῳ ἄλλα (δην.) ,β.
χαῖρε παροδεῖτα.

Aetatem nomina indicant. Aperte pedestri orationi duo pentametri interpositi, quorum prior εὖ syllaba abundat. — 2 προβλέπειν τι *prospicere aliquid* latini sermonis consuetudinem arguit.

---

327. In Imbro. Conze l. s. s. p. 97.

Τέσσαρα τέκνα λιπώ[ν] Νεικήφορος ἐνθάδε κεῖμαι
ἐν χρηστῆς ἀλόχου πνεῦ[μα] λιπὼν παλάμαις·
εὐδαίμων Ἑλένη παιδὸς μόρον οὐκ ἐσιδοῦσα,
ἀλλ' ὁ πατὴρ ἔτλη Λού[κι]ο[ς] οὐχ ὅσια·
εἶδε γὰρ ὀφθαλμοῖς τὸ[ν] ἐμὸν νέκυν, εἶδε δὲ τέκνου

πώ[μα]τι λ[α]ινέῳ σῶ[μ]α κ[ατ]ι[σχό]μενον.

III fere saeculi. — 4 ΛΟΥΝΟΙ — 6 ΠΩΟ...|ΤΙΛΔΙΝΕΩΣΩΚΑΚΩΙΕ....| ΜΕΝΟΝ quas punctis notavi litteras incertas esse testatur editor. Emendavi *de monumentorum aliquot graecorum carminibus* (Bonnae 1871) pag. 41.

---

328. In Lemno. Conze p. 113.

Π[ᾶ]σιν ἐυμενέτης τελέθω . . . .
τοῖσιν προφρονέως ὡς ἐμὲ ἐρχομένοις.

Litterae II fere saeculi. — 1 Curtius *Goett. gel. Anz.* 1860 p. 421 τελέθω Διὸς υἱὸς Ἀπόλλων. At in scamno nunc insertus lapis vix eam habebat magnitudinem, quae templi epistylio conveniret. Loquitur defunctus.

---

329. Mytilenis. Ex sylloge Cyriacana edidi *Ephem. epigr. lat.* II 11.

Τὴν κύνα Λεσβιακῆι βώλωι ὑπεθήκατο Βάλβος
εὐξάμενος κούφην τῆι κατὰ γῆς σκύ[λα]κ[ι,
δουλίδα καὶ σύμπλουν πολλῆς ἁλός· [ἧ]ν καὶ παράσχοις
ἀνθρώποις ἀλόγοις ταὐτὰ χαριζομέν[η.

I vel II saeculi. — 1 confert Buecheler (*Jen. Littztg.* 1874 n. 374) Crinagorae epigr. A. P. VII 628 ὃν τύμβῳ Δίης ὑπεθήκατο βώλου (lege Δίης-βώλου). — 2 ΣΚΥΚΑ — 3 ΤΙΝ interpretatur Buecheler *quam* (i. e. κούφην γῆν v. 2) *tu etiam concedas*, conpellatam putans ipsam Terram deam. Non facilem esse hanc structuram patet; at nescio an non praestet quam Aeneas Piccolomini amicus proposuit emendatio ἧι κε παράσχοις, quod vertit *cui te puto, o terra, praestituram esse, quod hominibus nunquam dubitas praestare.*

---

330. Mytilenis. C. I. 2211. Ex Cyriaco edidi l. s. s. 10.

Ὁ πάντα σοφὸς καὶ μουσῶν ὄχ' ἄριστος
Ἀλκιβιάδης Βυζάντιος ἐνθάδε κεῖμαι,
Ἑλλήνων πάντων ὄρνις ἀοιδότατος·
Λουκιλλιανὴ δέ μοι ἦν παράκοιτις,
ἧς ἐκ δαπανῶν τύμβος ἔχει [με] κλυτός
Λέσβῳ ἐνὶ χώρῳ· ἡ δ' εὐδαίμων Μυτιλήνη
σῶμα μετῳκίσατο.

1 *optimus poesi* Boeckh. — 5 inserui pronomen sive librarii seu lapidarii errorem corrigens.

---

331. Mytilenis. Franz *Annal. Instit.* 1842 p. 148.

Τῇ κλυτῇ ἐν πινυτ]ῇσι Πεδανίῃ ἐνθάδ' [ἔθηκεν
nomen filii] *υὸς μνῆμα σαοφρο[σύνης.*

Litterae satis recentes.

---

332. Pergami. Anaglypho canis exsculptus. Lebas *Rev. de la Philol.* I 335.

Οὔνομα Φιλοκύνηγος ἐμοί· τοῖος γὰρ ὑπάρχων
θηρσὶν ἐπὶ φοβεροῖς κραιπνὸν ἔθηκα πόδα.

III fere saeculi.

---

333. Pergami. Ex codice Askewiano C. I. 3557.

Εἰ μὲν ἔην ζώ[ειν ἐπιε]ικέα θυμὸν [ἔχ]ο[ν]τα,
σώφρ]ων δ' ὅς κεν ἔην ἢ πινυτὸς πραπίδας,
ο]ὔποτ' ἂν ἐν σχεδ[ί]ῃ μάχῃ ὤλετο ΞΕ (nomen defuncti)
καρτερός· εὐπρεπέης ἦν γὰρ ἰδ[εῖν προμάχοις.
ἀλλ' οὔτο[ι] μοῖράν [γ]ε θεῶν ἰότητι κ[ραταιήν
θνητὸς ἀνὴρ ἔφυγεν· ἔφθιτο [δ' ἐσθλὸς ὅμως·
καὶ γὰ[ρ] ΤΟΥΣΟΣΟΙΤΟΝΤΑΟΕΠΑ . . . . . .
ὤλεσε ΛΙΤΕΝ . ΤΑ . . . .
ἀλλὰ καὶ ὣς ἔκανον [π]έ[λ]ας [ἀνέρας . . . . . .
κεῖμαι δ' ἐν τ[ύμ]βου ΛΗΣΤ . . . . .
σῆμα δέ μοι πρέπον ἐστὶ καὶ . . . .
— — — — — — — — — — — —

Desperatum esse epigramma iure dicit Boeckh. — 1 ΖΩΝΗ . . . et post θυμόν . . Ο . ΤΑ Boeckh εἰ μὲν ἔην ζωὴν ἐπιεικέα θυμὸν ὀφέλλειν hac sententia *si vitam augeret animus probus, non qui temperans et sapiens foret periret.* At cum v. 3 extr. nomen defuncti fuisse necesse sit, non perspicitur ista ratione, quomodo a generali ut ita dicam sententia ad ipsum defunctum transitus fieri possit. Quae posui ita intellego: *si fieri posset ut homo probus ac prudens sapiensve vitam servaret (viveret), nunquam ille periisset*, ut ipsum verbum ζώειν *vitam servare*, σώφρων δέ altera prota-

sis pars esset. ἂν autem cum indicativo aoristi positum superfluum est exemplis firmare. — 2 suppl. Boeckh. — 4 sic distinxi; pro προμάχοις possis ἑτάροις. ἰδεῖν Boeckh. — 5 ΤΕ recte Boeckh his quae recepi posthabuit μοῖράν τε - κ[αὶ ῞Αιδην. — 6 suppl. Wilam. — 7 sq. interpretatur Wilamowitz *nam et deorum filios* (*ad Ilium*) *Parca necavit: eidem ego succubui.* Certum est iuvenis obitum narrari; verba non expedio; καὶ γάρ recte Boeckh. — 9 ΤΕΛΑΣ πέλας verum videtur, nec minus v. 10 τύμβου vel τύμβῳ, ubi ἐν ταβουλῇς voluit Welcker in notis suo Syllogae exemplo p. 85 adscriptis nescio quo sensu.

---

334. Apud Ilium novum. C. I. 3627.

Τὴν στήλλην, παροδῖται . . . .
εὐφήμῳ γλώσσῃ χῖρε προςείπα[τ' ἐμέ,
τὸν ζωὴ]ν [πρ]ο[λ]ι[π]όντ[α], ποθητὸν ἀεὶ γον[έεσσιν·
ε]ἰ δὲ μαθὼν τὸν ἐμὸν μόρον, ὦ ξένε, [κ]α[ὶ σ]ύ με κλα[ύ]σις,
στέρ]ξω· καὶ θνήσκων γὰρ ἔχω νόον οὔτινα [β]αιόν·
κ]ουρῆα τὴν τέχνην ἐςορᾷς ἐμέ, τὸν παρὰ μοῖραν
πλ]ήγματι δυσστήνῳ πνεῦμα [β]ίᾳ θέμενον·
ἐ]ξόπιθεν χεὶρ γάρ μαι ἔβαλεν δύστηνον ἐς Ἅιδην,
ἤλυθον ἐξ ζωῆς ἐν δυσὶν ἑβδομάσιν·
πλεῖ]ον δ' οὐ[κ εἴ]ασε Τύχη δαίμων ται ἀλόγισστος
ἐξ]ανύσαι· πρ[ὸ γάμ]ων ἀρτ[ιφ]υὴς ἔθανον.
πολλὰ δ]ὲ καὶ μάτηρ με ὠδύρετ[ο] ὃν κατὰ οἶκον
δειλ]αίη κ[ατ' ἐμοῦ χεῖρα βαλ]οῦ[σα] ῥέθους
. . . . ἐμὰς [μ]ονί[μ]οις φρένας . . . . παιδός
σὺν πατρὶ δυσστήνῳ· βά[λλ]ο[ν] ἐ[μ]ὸν ὀλέτην
δέμοσιν· ὦ μοίρης πικρὰ λογιζομένης·
οὓς γὰρ ἔδει [ζῶ]ν[τας τέκ]νου ὕπο [πρεσ]θεύεσθαι,
οὗτοι νῦ[ν αὐτοὶ] σῆμ' ἐπέθ[ηκαν ἐμοί.

Litterae vulgares, carmen ipsum admodum recens. Scripturae corruptelas leviores velut Ο pro Ω et Θ scriptum non enumerabo. Boeckhii supplementa sunt plurima, pauca ipse mutavi. — 1 ΔΙΤΑΙΑΙ . . . Boeckh ἀειμνήστην ἐςιδόντες. — 3 ΙΕΙΝΤΟΝΙΤΟΝΤΗ Boeckh αἰῶν' ἐκπρολιπόντα. — 4 ΞΕΝΕΡΑ . . ΥΜΕ δάκρυ με κλ. B. — 5 init. ΕΞΩ corr. Franz. — ΡΑΙΟΝ — 7 ΕΙΑ πνεῦμ' Ἀίδᾳ B. — 9 XIV post acceptum vulnus diebus mortuus est, cf. A. P. VI 330 ἰάθην - ἐν τρισὶ μησίν. — 10 ΙΟΝΔΟΥΗΑΣΕ τὸν βίο]τον δ' οὐ πᾶσ[ι] Τύχη - [δῶκ'] ἀνύσαι πρὸ γάμων B. correxi non multo violentius. — 12 priorem versus partem aliunde petitam esse

vel dialectus probat. — 13 ΚΑΙ . . . . | . . . ΣΟΥΡΕΘΟΥΣΣΑΙΟΙΚ . . . . | ΕΜΑΣ ΗΟΝΙΝΟΙΣΦΡΕΝΑΣΟΙΕΑ | ΤΕΠΑΙΔΟΣ in quibus quae lateant nescio. v. 13 Boeckh *δακρυχέουσα* pro *χεῖρα βαλοῦσα*. Idem quae v. 14 voluit taceo. *μονίμοις* videor certo correxisse; ibid. init. fort. *καὶ θρήνοισιν*. — 15 ΒΑ ΜΟΜΕΝΟΝ *βαλλόμενοι* B. *daemonum sive deorum iram in percussoris caput detestabantur*. — 17 sq. ΕΔΕΙΤΟΝΥ | ΥΑΙΣ . . . ΝΟΥ probabiliter correxit et supplevit B.

---

335. In Granici valle superiore. Ex Kieperti apographo Franz *Annal. Instit.* 1842 p. 144.

Ὁ χῶρος ὁ Μοττιανῶν	*Ὁ χῶρος ὁ Βαιστεανῶν*	*Ὁ χῶρος ὁ Τρινοιξειτῶν*	*Ὁ χῶρος ὁ Ἀγεανῶν*	*Ὁ χῶρος [ὁ . . . δ[α]νῶν*
Ὁ χῶρος ὁ Ἰ[λ]βειτηνῶν	*Ὁ [χῶρος ὁ . . . .*	*Ὁ [χῶρος ὁ . . . .*	*Ὁ [χῶρος ὁ . . . .*	*Ὁ χῶρος ὁ Ὑχαντηνῶν*

[Ὁ χῶρος ὁ
. . . .

fuit anaglyphum.

— — — — — — — — — — — — —

δὶς] δέκα καὶ δύο ἐτῶν γεγενημένον· ἐν [δ]ὲ λίθῳ μου
τοὔνομα [δυ]στήν[ου . . . .
θνήσκω] δ' οὐχὶ ν[όσ]ῳ βεβαρημένος, ἀλλὰ διώξας
ἵππον [ὑπὸ] σπουδῆς α[ἰφν]ιδίως ἔπεσον·
ο[ὐδέ γ' ἐθάλφθην] χερσὶ πατρὸς καὶ μητρὸς ὁ τ[λ]ήμων
κείμενος ἡμιθανὴς [ῥείθρου] ἐ[π' ἠ]ιόσ[ι]ν.
τόνδ' ἄρα, μῆτερ, ἐ]μοῦ δέξα[ι] λόγον ἀντὶ τροφήων,
ὧν ἔκαμες . . . .
οἴ[τ' ἀπό μοι τοκέων] τειμᾶς χάρις, οὔτε γε πάππωι
βαιὸν ἐ[μῆι] τ[έφ]ρηι βῶλον ἐπισ[κ]εδάσα[ι
. . . . ἔδει [μ'] ἀπὸ σ . . . . . . στεφανοῦσθαι,
σύνπαν πλῆθος ἐμὸν τύμβον ἔχευε τότε·
καὶ το[κέ]ες . . . . ἐγ]ό[ω]ντο
τοὐμοῦ πανκλαύστου δαίμονος ὡς ἀδικοῖ·
ἀνθ' υἱοῦ γὰρ νῦν ὀσ[τᾶ, κενεὸν] σέβας εἶ[χον
ἀν[τὶ . . . .], οὐ τέκνον, ἀλλ[ὰ λί]θο[ν.

In emendando difficillimo epigrammate nihil fere profeci; videtur non nimis recentis aetatis, quippe iota dativis adscripto v. 9 et 10.

Ante v. 1 paucae supersunt nullius momenti litterae. — 1 ΘΕ — 2 ΣΤ ΗΝ .... ΙΕΛΕ Franz γράψ' ἐλέων ὁ πατήρ, idemque supplevit correxitve v. 1-5. — 3 ΝΘΕΩ — 4 ΙΠΠΟΝΙΣΠΟΥΔΗΣ Franz ἐπί σπ. — 5 ΤΑΝΗΜΩΝ — 6 ΘΑΝΗΣ .. Ο . ΙΕ .. ΙΩΣΕΝ supplevit licet incerta ratione Wilamowitz, qui etiam v. 7 sententiam adsecutus est. — 7 ΔΕΞΑΛΟΓΟΝ — 8 ΩΝΕΙΚΑ ΜΕΣΦΑΛΕΡΑΜΟΣΑΔΕΙ .. ΝΑΣΕΝΙΑΙΓΟΔΟΥ extremae litterae ad v. 9 trahendae videntur. — 10 ΕΠΠΥΤΗΡΕΙ correxi. — ΣΧΕΔΑΣΣΑΣΗΔΟΝΗΙΑΡΕΔΕΙΝ ἐπισκεδάσαι Franz, qui infinitivus suspendi debet ex voc. αἴσιμον simil. Tum Buecheler talem fere structuram fuisse intellexit ἡνίκα γὰρ ἔδει με - στεφανοῦσθαι κτλ'. Non patet tamen a quibus ille honoratum se iri speraverit. — 13 ΚΑΙΤΟΥΣΕΙΣΑΕΠΝΕΤΕ dein in versus exitu nescio quot litterarum lacuna et proximi versus initio ΠΟΝΘΙΕΘΟΝΤΟΤΟΥΜΟΥ κτλ'. τοκέες verum puto, nam parentibus memoratis opus est propter v. 15. ἐγόωντο posui ut quid postuletur pateat. — 15 ΑΣΕΒΑΣΕΙΚΩΙΑΝΞΙΙΠΥΞΩΝΟΥ — ΑΛΛΟΘΕΟΙ quae tradita videtur sententia οὐ τέκνον ἄλλο θεοί non video quomodo ceteris adaptari possit.

---

336. Alexandriae Troadis esse recte coniecit Boeckh C. I. 3588.

Ἔστ]ιν τοὔνομά μοι Ἀφροδείσιος, ὦ παροδεῖτα·
εἰμὶ δ' Ἀλεξανδρεύς, τῶν δὲ [σ]ορ[ῶν] ὁ μέσος.
θν]ήσκω δ' οἰκτροτάτῳ θανάτῳ διὰ τὴν ἄλοχόν μου
κ]λεψίγαμον μιεράν, ἣν περὶ Ζεὺς ὀλέσει·
ταύτην γὰρ λάθριος γαμέτης καὶ μὸν γένος α[ἰσ]χῶν
ἵλξ[ε] με κάφ' ὕψους δισκοβόλησε νέον·
δις δέκατον γὰρ ἔτος κατέχοντά με, κάλλος ἔχοντα
κλώσασαι μοῖραι πέμψαν ἄγαλμ' Ἀίδῃ.
χαῖρε.

Infimae aetatis carmen nimium quam incompositum. — 3 Fausta vel Faustina fuit aviae nomen. — 5 *dolore quidem adfeci matrem, sed invitus; nam fatum in causa erat, quod liberos non relinquerem.*

---

477. Magulae ad Spartam. Ex schedis Fourmonti C. I. 1480.

. . . . αις Λακεδαίμονο[ς . . . .
. . . . κ]αὶ κλέος ἄμπε[δ]ί[ον·
. . . . β]ραχὺ λίψανον, οὐ μ[έγα σῆμα
. . . . . . ο]υ δῶρον ἐλευθερί[ης
. . . . . Ἀργο]λικὸς στό[λ]ος· ὤπασε δ' ἡμ[ῖν
δῆμος ὑπ' αἰπεινῇ ἀ]κροπόλ[ηι τάφον.
— — — — — — — — — — —

Litterae fere III p. Chr. n. saeculi sunt, quo tamen tempore cum vix invenias quid belli gesserint Lacedaemonii cum Argivis, recte fortasse Wilamowitz refictum esse epigramma ait, nisi mavis ex vetere lapide ab altero Helladio (vid. supra n. 461) transcriptum statuere. — 1 sq. *huius pugnae fama apud montium non minus quam apud planitiei incolas percrebuit.* — 2 ΑΜΠΕΛΙ — 3 sq. *mortuis hoc monumentum pro recuperata pretiosa libertate exiguo dono est.* — 5 Ἀργολικός Boeckh. — 6 ΚΡΟΠΟΛΙ — 7 sq. pauca supersunt haece:

ΥΝΟΝΥ. ΜΙΙΥ---ΔΗΛΟϹ
ΑΡΤΗΡ-----Ι. Ι. . . ωϹ

---

478. *In suburbano Geraniae, cui nomen* Μεγάλη Μαντινέα. Fourmont, ex cuius schedis C. I. 1499, cf. ad 1457 et 1463.

Τίς μοιρῶν μίτον ὕμμιν ἐκλώσατο, παῖ[δες], ἄωρον,
Ἐλπίδος ἐκ μητρὸς καὶ πατρὸς Ἀρχιτέλευς·
τυτθὸν δὲ ἀνθήσαντας ὑπὸ κροτάφοισιν ἴουλον
ἥρπασεν ἡ προπετὴς μοῖρα διωξαμένη
Θειοφάνη Νῖρόν τε, νέ[ο]υς δ' ἐμαρήνατο [δ]αίμων
ἄμφ[ω] πρωθήβας, ἔρνεσιν εἰδομένους.

II fere saeculi. — 1 ΠΑΙΑϹΟ et 5 ΝΕΥϹ et 6 ΑΜΦΙΟ corr. Iacobs. — 3 ΤΟΥΘΤΟΝ quod πρῶτον legerunt. — 6 aegre adiectivo caret nomen ἔρνεσιν.

---

479. Prope Taenarum. C. I. 1498.

Πέντε καὶ ἑξήκοντα ἐτῶν μέγα σῆμα καλύπτει
Εὔτυχον οἰκονόμον, πολλὴν φιλίην πορίσαντα.

III fere saeculi. — 2 οἰκονόμος quid sit docet C. I. 1276 Ἀμάραντος Δημέα. φιλοδέσποτος οἰκονόμος.

480. Thelpusae. Ross *Inscr. ined.* I 10.

Ἰουλία Ποθοῦσα χαῖρε.

Ἀ σ[ο]ὶ μέν, σοὶ πέ[νθος ἐπέκλ]ωσεν θ[εὸ]ς ἐσθ[λῆ,
ἐξανύσαι ζήσασ]αν ἔτη δύο καὶ δέ[κ]' ἀτα[ρ]πόν·
α[ἰ]εὶ γὰρ τὰ δοκοῦντα θεοῖς - - - εν κατὰ μάν[τιν
— — — ΕΙΔΑΡ — — ΙΠΕΕΣ — — — — — —
ἐν] παλά[μαις ζ]ώντων γονέων πολὺ χείρον[α πάσ]χει
— — Δ — ΜΟΣ — — — — *τάχιστα δίκας τελέων [θανάτοιο*
— — *σαν ἐπεί [γ]' αὐτο[ί τ]ε πικ[ρ]ῷ μὲν πέν[θει . . . . . .*
— — *καὶ* ΔΙΕΑΙ *τέκνον ἐρ — — — — ἀνπαύσωντα[ι.*

Apographo mutilo abstinendum puto. — 1 ΑΣΕΙΜΕΝΣΟΙΠΕΜ - ΘΩΣΕΣΘ ΑΙ — 2 ΔΕΖΑΤΑΕΠΟΝ — 3 ΑΓΕΙ post θεοῖς videtur *μάντεως* epitheton fuisse velut θεῖον, nam lacunarum nusquam adcurata habetur ratio. Certum autem est poetae alicuius verba citari. — 5 dubitanter hanc posui sententiam *grave est mori, graviora patitur qui in manibus superstitum parentium moritur.* — 7 ΕΠΕΙΤΑΥΤΟΠΕΠΙΚ - - - - - ΩΜΕΝΠΕΝ — 8 ΑΝΠ ΑΥΣΩΝΤΑΚ sententiam non adsequor.

---

481. Patris. C. I. 1553.

Δομιτίου Φαίδρου.
Τὴν σὴν εὔνοιαν καὶ πίστιν, Φαῖδρε, καλοῦντες
ἐν βιοτῆς μέτροις οὔποτε παυσόμεθα.

---

482. Leucade. C. I. Add. II 1923 b ex diario quodam graeco, cui nomen Ἰόνιος Ἀνθολογία.

Τελέσφορε χαῖρε.
Ἦν ὥρα συ[ν]έχουσα Τελέσφορον, καὶ ἀπέδησε
τὴν ζωνὴν ἑαυτοῦ·
ἠόνος ἐξήρπα[ξ]ε καὶ οὐκέτι μοῖρα ἀνέμεινε·
ὢ ταχ[ι]νοῦ θανάτου καὶ γονέων ἀτυχῶν.

1 ΣΥΕΧΟΥΣΑ emendavit Boeckh, falso tamen explicans. — 2 ΕΞΗΡΠ ΑΖΕ. — Sententia epigrammatis haec mihi videtur esse: *Telesphorum navi iter facturum Leucade cohibuit tempestas* (ὥρη γάρ σε πέδησεν ἀνέγγυος A. P. VII 263,3 eodem significatu) *et cingulo soluto* (ζώνην λύεσθαι *in itinere subsistere* Herod. VIII 120) *caeli serenitatem opperiebatur. Tunc forte in littore stans sive casu sive vento abreptus in mare praecipitatur,*

Parca quae navigantem perdere voluisset morae inpatiente. — Inter verba ἑαυτοῦ et ἠόνος nihil omnino spatii est, ut poeta mancum versum facere voluisse vel integrum facere non potuisse videatur. — 4 ΤΑΧΥΝΟΥ quod cave defendas deque voluntaria praepropere excogitata morte intellegas.

---

483. Delphis. C. I. 1722.

Σῆμα τόδ' ἥρωος πατὴρ παρὰ ταῖσδε πύλαισιν
Πυθικὸς εἵδρυσεν παιδὸς ἐπὶ φθιμένου·
ἰ]ητροῦ πά[ντεσσι φί]λου, πινυτοῖο καὶ ἐσ[θλοῦ
nomen . .]*ρου, βιοτῆς τυτθὸν* [*ἐπαυραμένου.*

II fere saeculi. — 1 πατήρ eadem mensura in Archiae epigr. A. P. VII 140 πατὴρ μὲν Πρίαμος, γᾶ δ' Ἴλιον, οὔνομα δ' Ἕκτωρ, ubi cum probabilis nulla suppetat emendatio, nulla omnino opus est. — 3 ΡΗΤΡΟΥΠΑ quod cum non corrigerent mire erraverunt et Welcker (*Syll.* 28) et Boeckh. — 4 ἐπαυραμένου Boeckh.

---

484. Tanagrae. Anaglypho exsculpti arte rudiore duo iuvenes. C. Robert *Diar. arch.* 1876 VIII 18 sqq.

Ἀμφάλκης ἔστασ' ἐπὶ Κιτύλωι ἠδ' ἐπὶ Δέρμυι.
Κιτύλος. *Δέρμυς.*

V saeculi ineuntis.

---

485. Thespiis. Sub eximiae artis anaglypho superne fracto, in quo duo nudi viri incedunt ad dextram versi. Egregie tractavit Robert *Diar. arch.* 1876 VIII 19 sqq.

Μνᾶμ' ἐπὶ Γάθωνι κἀριστοκράτει.

V saeculi ineuntis. — Nescio an numerosa scriptori oratio obversata sit.

---

486. Prope Thespias. Ross *Epistola ad Boeckhium* Halis 1850 p. 11 sqq. Ex Schillbachii apographo Keil *Zur Sylloge der boeot. Inschr.* p. 553 n. XXX.

Μνᾶμ' ἐπ' Ὀλ[αϝ]ε[ί]δαι μ' ὁ πατὴρ [ἀν]έθηκε θανό[ν]τι
Ὄσ[σ]ιλος, ὥ[ι] πένθος θῆκεν ἀποφθίμενος.

v saeculi. — 1 ολ..ε | δαιι Ross, ολιϝε | ϝιιι Schillbach. 'Ολαϝείδαι Rossii coniectura est haud certa. 'Ολαίδας Thebanus ap. Pausan. X 7, 8, ubi Schubart ex Keilii sententia 'Ιολαίδας edidit. — Post πάτήρ versu extremo una littera excidit, ineunte proximo Ν́έθηκε Ross, ///έθηκε Schillbach. Falso scripserunt ἐπέθηκε, quod verbum nudum dativum trahit. — 2 ◻ϟ ὡ̃ι Keil idemque Ὄσσιλος nomen invenit conlato Coorum nomine Ὄσσυλος ap. Ross *Hellen.* I 95 n. 18. Meineke *Diar. arch.* 1851 p. 253, qui v. 1 'Οικλείδαι nomen posuit, hunc versum sic scripsit ὡ̃ φίλος ὢν πένθος κτλ'. Ross ὡς φίλος ὡς πένθος κτλ'. Poeta modo ne barbarum putemus non potuit scribere nisi quod Keil reposuit.

---

487. Thisbae. Ex Rossii schedis Keil *Syll. inscr. boeot.* p. 170.

Ἀστοῖ[ς κ]αὶ ξείνοισι φανεὶς φίλο[ς εἰμί nomen defuncti
ὅ]ς ποτ' ἀριστεύων ἐν προμάχοι[ς ἔπεσον.

v saeculi. — 1 φίλος ἐνθάδε κεῖται vel Εὔκλος ὅδ' ἐστίν et v. 2 ὅς ποτ' ἀριστεύων ἐν προμάχοισι πέσεν Keil.

***488.** Tanagrae fortasse repertus cippus in museo Thebano adservatur. Edidi *Hermae* VIII 422.

Σοῦ μὲν δὴ πατρὶς δήν, Κέρκινε, Φοξίου υἱέ,
Ποντιὰς Ἡράκλει' ἕξει ἄχος φθιμένου
ἡμ[ετέρ]ων ἐγχερσὶ φίλων· ὅ[θεν οὔ]ποτ' ἐπαίνου
λησό]μεθ'. ἦ μάλα γὰρ [σὴν φ]ύσιν ἠγασάμην.
. . .]ανδρος.

v saeculi exeuntis. — Tanagraeum lapidem esse ideo conieci, quod Tanagraei olim cum Megarensibus Heracleam coloniam deduxerunt (v. 2), faciliusque Cercini apud amicos Tanagraeos obitus explicatur. — 3 mea supplementa cum iniuria olim abiecissem, eadem a se inventa mihi probavit Buecheler. — 4 λησόμεθ' Leo amicus; pluralem parum concinne excipit singularis ἠγασάμην. Vnus ex amicis, cuius nomen infra scriptum fuit, cippum ponendum carmenque inscribendum curavit.

---

489. Thebis. Rangab. 2217. Ex Rossii apographo Keil *Syll.* p. 174. Melius Lebas III 553.

Ὃν μεγάλ' αἰ]χήσασα πατρὶς Θή[β]η ποτ' ἐ[ϝ]ώ[λπει
πρωτεύσειμπάσης Ἑλλάδος εἰς ἀρετήν,

πρὶν [διά]νοιαν τέρμα λαβεῖν, βίον, ὧι κε[χάρητο,
ὤλ[εσεν ἡ φ]θονερὰ τ[οῖς ἀ]γαθοῖσι τύχ[η.
. . . . οχων ἔθα[ν]εν Διογείτον[ος υἱός,
ἐν πολέμωι κοσμ]έωγγῆς πατρίας δύναμιν.
nomen viri] οἰκείαι γνώμηι Θηβαῖος ἔτ[ευξεν.

IV fere saeculi. — 1 extr. ΓΌΤΕΤΩ corr. et supplevit versum relicum Wilamowitz, nisi quod digamma addidi, quam litteram scimus apud Boeotos satis diu obtinuisse. — 3 ΛΙΑΝΟΙΑΝ Lebas eademque fere ceteri. — κεχάρητο Wilam. — 4 restituit Keil. — Sententia plana et pulcra: *quem patria speraverat virtutis fore principem, eum priusquam ad spei exitum perventum esset, fatum perdidit,* in quibus hoc notandum v. 3 pro ipso homine vitam (βίον) substitui, tamquam veritus sit poeta ipsum hominem exstinctum oblivionique traditum dicere. — 5 . ΩΙ . . . . ΟΧΩΝ reliqua suppl. Keil. — 6 ΤΙΙ . . . . . ΕΩΓΓΗΣ Lebas.

---

490. Thebis. C. I. 1652.

Εὐφροσύνην ἤσκουν νέος ὢν [. . . . nomen defuncti
τᾶς] ἐκ γυμνασίου σύντροφος ἁ[λικί]α[ς·
θνήσκω δ' ἐν πολέμωι τιμωρῶν Δελφίδι χώραι·
πάππου] δ' εἰμὶ Εὐανορίδα, πατρὸς δὲ Νέωνος.

Ad quod bellum pertineat cum multa cogitari possint certo definiri nequit; litterae sunt vulgares, iota dativis adscriptum in verbo θνήσκω omissum est. — 2 ΑΙ . . . . Α. Welcker *Syll.* 26 καὶ πᾶσιν ἑταίροις τοῖς ἐκ γυμνασίου σ. ἁπλότατος, eademque Boeckh, nisi quod ἀκρότατος praetulit. At post σύντροφος substantivum requiri casu genetivo positum docet epigr. atticum supra n. 49 πᾶσι δ' ἑταίροισιν σύντροφον ἡλικίας coll. Antip. Sid. A. P. VII 26 ὁ φιλακρήτου σύντροφος ἁρμονίας et C. I. 246 πινυτῆς σύντροφος εὐδικίης, unde cum nihil aptum sit praeter ἁλικίας, hoc scripsi Dodwellium leviter errasse ratus. V. 1 quid opus sit ipsa res clamat. — 4 suppl. Boeckh.

---

491. Orchomeni. Decharme *Archives des missions scientif.* 1867 IV 498.

Φιλοκράτης Φιλοκράτους Σιδώνιος.
Οὐ νόθον ἐκ προτέρο[ι]ο, Φιλόκρατες, ἤνεσας ἥβ[αν
σεῖο βίου, πινυταῖς θηγόμενος πραπίσιν·
ἡ γὰρ ἀπὸ πράτας μεμελημένος ἧς Ἐπικούρου
δόγμασιν εὐξυνέτοις, [ὥ]ς [θ]έμις, ἁλικίας·

αὖθι τύχης δ' οἴακι παλιμπλανέος βιότοιο
εἴκων ἐν Μινύαις φῶτας ἐπαθλοκόμε[ι]ς.
κεῖσαι δ' ἀγχόθι παιδὸς ἑοῦ ψαύων μελέεσσιν,
ἅζμενος ἐκ ζωᾶς εἰς προθανόντα μολών.

II fere a. Chr. n. saeculi est epigramma elegantissimum. — 1 noli ἤνυσας corrigere; potuit enim ille doctrinae speciem vel maxime adfectans verbi ἄνω aoristum adhuc ignotum formavisse. — 4 ὡς θέμις non est *quantum licebat*, sed pertinet potius ad ea verba quibus medium interpositum est ἀπὸ πρώτας-ἁλικίας *ab ipso iuventutis initio, ut par est, coepisti Epicuro studere.* — 6 fuit ἀγωνοθέτης in Charitesiis Orchomeniis.

---

492. Thebis in scala ecclesiae S. Georgii. Mihi descripsit Wilamowitz.

Οὐκ ἔστ' οὐδὲν τέρμα βίου θνητ . . . .
ἀλλὰ Τύχη κρείσσων ἐλπίδος [ὦκ'] ἐφάνη,
ἥ καὶ Τιμοκλέ[ω]να Σοφ[ων]ίχου ἠφάνισ' υἱόν,
πρόσθε πρὶν ἐνδείξασθ' ἔργα πρέποντα φύσει·
ὃς Βασίλεια Διὸς καὶ ἔ[τ]' Ἡρακλέους τρὶς ἐν ἄθλοις
ἵπποις νικήσας δώματ' ἐπαγλάισεν.
Πολύκλειτος ἐπόεισε.

I sive ante seu post Chr. n. saeculi. — 1 ΟΝΗΤ . . . . . ΘΗ . . . Σ legit Wilamowitz adnotans litteras ΟΝΗΤ incertas esse. — 2 ΔΟΣΗ . ΕΦΑΝΗ ὦκ' dedit Wilam. Sententiam distichi adsequi non possum. — 2 ΚΛΕΗΝΑ corr. Ed. Hiller. — 5 ΕΝ correxi non certo modo; ego scripsissem καὶ ἐν Ἡρακλέους τρὶς ἀέθλοις. Iovi βασιλεῖ sacra faciunt Trophonii oraculum adituri (Paus. IX 39,5); Iovialia nescio quae vicit Phorystas C. I. 1582.

---

493. Larymnae. Chalciopuli Locrensis apographum litteris minusculis scriptum C. Wachsmuthii beneficio debeo.

Δέρκεο τόνδε, ξεῖνε, καταφθιμένοιο Φίλωνος
τύμβον, ὃς ἐμμούσ[ο]ις γράμμασιν εὐξυνέτως
παιδείαν ἤσκησεν, ἅπασι δὲ κοινὸν ἐν ἀστοῖς
ἦθος Λαρύμνης προςφιλέως ἔθετο·
τὸν καὶ ἔτ' ἀκμαῖον βίοτον λείποντα καθ' ἥβην
κῆδος ὁμοφρονέως πᾶσ' ἐδάκρυσε πόλις.

2 ἐμμούσαις quod corrigendum putavi. — 5 sq. κῆδος δακρύειν figurae etymologicae genus est adiectivo ad κῆδος referendo ex adverbio ὁμοφρονέως repetito.

---

494. Thebis. Ex Pocockio C. I. 1653. Keil *Syll.* p. 179, qui Graefii supplementa recenset.

Πε[ρ]σεφόνη πρόπολ[ο]ν [σ]φετέρην εἰς ἤγα[γ]εν αὐλή[ν,
πατρὶ [δὲ . . . .] μητ[ρὶ . . . . . .
. . . . προφ[ϑ]ιμ[έν]ο[ι]ς τέ[κ]ος ἕσπετο· τοῖς δ' ἔπι σῆμα
Νεικείας στενάχων γα[μβ]ρὸς ἔτευξε φίλος.
πρὸ]ς [δ]' ἔτι καὶ κούρην ἁ[παλ]ὴ[ν], μέ[γ]α [πῆ]μα [τεκ]ό[ντι,
'Αν[ϑ]ί[τ]πη[ν] ἐρατὴν τύμβος ἔχει φ[ϑ]ι[μέ]ν[ην.

— — — — — — — — — — — — — —

Apographum nimis graviter corruptum quam ut aut leviori medicina te contineas aut graviori fidas. — 1 ΠΕΣΣΕΦΟΝΗΠΡΟΠΟΛ . . . ΝΕΦ — ΓΑΙΕ ΝΑΥΛΗΛΙ corr. Boeckh. — 2 ΠΑΤΡΙΣΣΥΝΑΙΝΟΓΟΣΥΜΗΤΕΡΟΣΑΒΛΗΒΙΩΙ teneo *πατρὶ* dativum propter v. 3. — 3 init. ΝΑΙΠΡΟΦΙΜΟΡΟΣΤΕΛΟΣ correxi; ab initio *μικρόν* vel simile quid fuit. Graefe et Boeckh *καὶ* Τρόφιμος *κοῦρος τέλος ἕσπετο.* — 4 ΓΑΗΓΡΟΣ recepi Boeckhii coniecturam ab ipso spretam. — 5 ΣΑΕΤΙ — ΑΤΛΑΗΙΙΜΕΤΑΙΙΜΑΣΥ . ΓΟΜ *ἁπαλήν* Boeckh; extrema incerta. Graefe *μετὰ πήμασι μητρός.* — 6 ΑΝΕΙΗΠΗΜ correxi, idem Graefe. 'Ανθίππη Thespii filia est. — ΦΟΙΝΝΙΑΙ corr. Boeckh. Anthippe filia fuit Niciae. — 7 post medium versum ΥΣΕΜΝΗΣΚΟΚΗ — 8 ΦΟΝΙ . . ΑΓΗΙΙ . . ΣΑΙ . . . ΟΤΩΛΙ ubi ab initio Περσεφόνης nomen fuerit.

---

495. Tanagrae. Minusculis litteris Cumanudes *Athenaei* vol. II 406.

Τοὔνομα μὲ[ν] Χαρίας, Θήβη πατρίς, ἀλλὰ ϑανόντα
Ποιμάνδρου χυδανὴ γαῖα κατεσκίασεν.

Aetatis romanae. — 1 ΜΕΜ lapidarii error. — 2 Poemandria vetustum Tanagrae nomen ap. Paus. IX 20. — *χυδανὴ γαῖα* ut *χυτὴ κατὰ γαῖα καλύπτει* in versu homerico.

***496.** Tanagrae. Edidi *Hermae* VIII 426. Vtor etiam Roberti apographo.

Θειοτέλου[ς] τόδε σᾶμα, τὸν ἵροσεν ἁ φερέκαρπος
Ποιμάνδρου γενεὴ τείμιον 'Εννεότα·

τ]ὸν καὶ χθὼν ἐδάκρυσεν, ἐπεὶ φάος ἔσβεσεν Ἅ[δης
λαμπρὸν ἀριζάλου φαινόμενον σοφίης.
ἆ θνατοί, κραδίην φ[αύ]λην ἔχετ', ἣν δὲ νοῆτε
κρέσσονα, [β]ασκαίνει τοῖς ἀγαθοῖ[ς Ἀίδης.

I vel II p. Chr. n. saeculi. — 1 ΤΕΛΟΥΕ — ΗΡΟΣΕΝΑ et Robert et ego. — 2 ΓΕΝΕΗ et ΕΝΝΕΟΤΑΙΟΝ testatur etiam Robert in lapide esse. At ne sic quidem expeditum distichon videtur: mira est ἁ φερέκαρπος γενεή i. e. *filiorum ferax*, et si Ἐννεότας patris nomen cum Buechelero esse existimes, miro loco positum fatebere. Nec tamen multum proficies scribendo ἐν νεόται i. e. ἐν νεότητι (cf. βιοτή et βιότης), cui non satis aptus hic locus sit. Ceterum pendet hinc, utrum v. 3 τόν an ὅν scribendum sit. — 3 ΕΔΑΙΚΡ — extr. ΑΛΛ et Robert et ego; lapidarium quomodo corrigam haereo. — 4 λαμπρὸν ἀριζάλου olim ex coniectura, nunc ex Roberti apographo scripsi. — 5 sq. sic legit Wilamowitz, nisi quod v. 6 τοῖς ἀγαθοῖσι θεός praefert. Ἀίδης Buecheler.

---

497. Thespiis. Conze *Annal. Inst.* 1861 p. 88.

a. *Γῆρας ἐρημώσασα πατρὸς νέκυς ἐνθ[άδε κεῖμαι*
Καλλιτύχη, φθονερῷ δαίμονι χρησαμ[ένη·
Μοῦσαι δὲ εὐχωλαῖσιν ἐπήκοοι οὐ[κ ἐγένοντο
πατρὸς ἐμοῦ ζακόρου· μοῖρα δὲ ἔχι με [πέδῳ
Ἀσκραίῳ κρύψασα· τίς ἐλπίδ[α]ς οὐ[κ ἐδάκρυσεν
τὰς ἀτελῖς γονέων, εἰς ἐμὲ δερκόμε[νος;

b. *Σουλπικίου ζακόροιο λυγρὰ παῖς ἐνθ[άδε κεῖται*
Καλλιτύχη, δύ' ἐτῶν πλησαμένη [δεκάδας.

II fere saeculi. — Supplevit Conze vv. 1. 2. 6-8. — 5 ΕΛΠΙΔΕΣ.

***498.** Thebis. C. I. 1654. Melius Keil *Syll. inscr. boeot.* p. 180.

Οὗτος Σωκάρτης Γορτύνιος [nomen patris
παντοίης ἀρετῆς ἔξοχος ἡνίοχος,
ὃν μήτηρ μὲν ἔτικτεν ἐνὶ Κρήτῃ εὐρείῃ
ἠύκομος Σθενίη, φερτάτῳ Αὐσονίων
εὐνηθεῖσ' ὑπ' ἔρωτι, κασιγνήτους τε κρατίστους
καὶ πλείστων ὑπάτων κρέσσονας ἡγεμόνας·
ἀλλά ἑ νοῦσος ἔμαρψε κακὴ καὶ μοῖρα βαρεῖα
ἥρωα, πρὶν ἰδεῖν παῖδας ἀεξομένους.

τούτου κουριδίη ἄλοχος καὶ [κεδ]νὰ εἰδυῖ[α
ἔστησ' Εὔπραξις, κῦδος ἑῇ πατρίδ[ι·
οὐ γάρ τις κατὰ γαῖαν, ὅσαις Διόθεν γένος [ἐστί,
μείζονα τῆδε πόλει κόσμον ἔθηκε γ[υνή.
ψ(ηφίσματι) β(ουλῆς) δ(ήμου).

III fere saeculi; litterae vulgares praeter ω. — 1 ΙΟΙΙΟ Pococke, ΙΟΙ ego; fuerit Ἰφίτου υἱός sim. — 3 clausula homerica. — 4 φερτάτῳ Vlrichs et Poc. φερτάτη Cramer et ego. — 5 κρατίστους est in lapide. — 9 καὶ . . ΑΝΑΕΙΔΥΙ Cramer . . ΔΗΔΕΙΔΥΙ Poc. et similia ego; corr. Boeckh. — 10 κῦδος ipsam Eupraxin esse docent proxima. — 11 ὅσαις κτλ'. i. e. *quibus quidem Cretensis origo est*, ut recte unus explicat Wilamowitz. — 12 ΤΗΔΕ omnes, ego ΤΗ///ΔΕ, unde τῇσδε conicias. — ἔθηκε πέρι Vlrichs et Welcker, γυνή Graefe.

---

499. Plataeis. *Ephem.* 2872.

. . . . συν]ήγαγεν αἰών
. . . . συ]ζυγίην·
ὧν ὃ μὲν . . . .]ν, ἣ δ' ἄρα κόσμου
κρέσσων ἠδὲ πέπλων ἔπλετ' ἀ]ριπρεπέων.

1 sq. *nunquam vita melius hominum par matrimonio coniunxit.* Non tamen nego etiam aliud posse carminis argumentum fuisse.

---

500. In Musarum valle Thespiensi. Conze *Philol.* XIX 182. Decharme *Archives des missions scientif.* IV 538.

Τόν ποτ' ἐν εὐσεβίῃσιν] ἀναστήσαντα Κόδρατον
μητέρ' ἀποφθιμέ]νην γήραι καὶ καμάτῳ
ἐκτέρισαν χάριν αὐτῷ] ἀμειβόμενοι φιλότητος
σήματι τῷδ' ἕτα]ροι· μνῆμ' ἀρετῆς Ἑλικών.
. . . . . Κορ]νούτου δὶς γυμνα[σιαρχήσαντος
. . . . . .] Θεσπιάδου.

III saeculi. — 3 ΜΕΝΟΣ Decharme, qua nisus lectione (nisi forte lectio nititur supplemento) inepte supplevit. — *sepulcrum levis est grati piique animi tessera, virtutis monumentum Helicon, qui vidit pietatem viri*, coll. Thucyd. epigr. A. P. VII 45 μνῆμα 'μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου, quod epigramma si cur Thucydidi tribuerint quaeras, legas ipsius histor. II 43 ἀνδρῶν ἐπιφανῶν πᾶσα γῆ τάφος.

---

501. Lebadeae. *Ephem.* 836. Lebas III 784. Keil *Syll.* p. 161.

Nomen defuncti . .]ε χαῖρε.

Nomen . . . . ἐ]πήρατον, ἔξοχον ἄνδρα
μικρὸς ὁ τύμβος ἐγὼ τήνδ' ὑπὸ γ]ῆν ἔλαχον,
ὃν θέτο παῖς γενέτῃ κρατε]ρῷ, φρένα κοσμηθέντι
παντοίαις ἀρεταῖς· τρεῖς γὰρ δεκ]άδας ἐνιαυτῶν,
(οὕτω μοῖρα βραχὺν ν]ῆσε βίον μερόπων),
ἐξανύσας πικροῖο] τέλους ἐπὶ τέρμα πέρησε
καὶ λάχος ἀθάνατον δέξ]ατο πὰρ μακάρων.
ἀλλὰ φίλη γαμετὴ . . . .]ρεία κεῖτε σὺν αὐτῷ
ἥ ποτε nomen deae . . . .] προφητεύσασα
. . . . ὡ]ς μυρία πολλὰ βροτοῖσιν
. . . . ε]ὐφροσύνης ἕνεκεν.

IV fere saeculi. — 4 ΥΑΔΑϹ Pittaces, ΑΔΑϹ Lebas. — 8 δέξατο Buecheler. — 9 Iunonis sive Cereris Proserpinaeve fuit sacerdos, cf. Paus. IX 39, 4. 5. — 10 *quae suis ex divitiis multa profudit mortalibus ut laeta sorte gauderent.*

---

502. Prope Thebas. Tres sunt unius sarcophagi tituli, quorum primum ed. Boeckh C. I. 1656, reliquos addidit Leake *Travels in the northern Greece* tab. IX n. 40, eosdemque ex suo apographo Welcker *Mus. Rh.* 1845 p. 236. Lebas II 557 - 559.

a. Μαρμαρέη λίθος ἰμί, φέρω δ' ἐν γαστέρι φῶτα
Νήδυμον ὕπνον ἔχοντα κα[ὶ] ἐν [φθιμέ]νοισι παρόντα,
ὃν δῆμος χρυσῷ στεφάνῳ [τε]ίμη[σε γεραίρων·
βουλὴ ταὐτὸν ἔπραξε παρη[γορίην υἱ]οῖ[ο·
κεῖται σῶμα λέοντος ἀ[ρηιφίλῳ ἐπὶ φωτί.
Ζώσιμος υἱὸς ἔγραψε, τὸ γὰρ γέ[ρας ἐστὶ θανοῦσιν,
ἔμπνουν φθεγγομένην ἀδεῶς [μ' ἐχάραξε] σιδήρῳ.
ὅστις δ' ἂν τολμᾷ θέσθαι νέκυν εἰς ἐμὲ νηδύν,
χωρὶς τοῦ παιδὸς πατέρος, οὗ ἔχω κατὰ γαστρός,
δώσει τῇ τε πόλει καὶ τῷ ταμείῳ δ[η](νάρια) μυρία.

b. Σκῆνος μὲν γενετῆρες, ἐπεὶ γέρας ἐστὶ θανοῦσι,
τειμῶντες κλαίεσκον ἀναισθήτῳ περὶ τύμβῳ,
ψυχὴ δ' ἐς τὸ δίκαιον ἔβη· ἦν δ' οὔνομα τοὐμόν
Νήδυμος, Ἰταλικῆς Ἀδάης παῖς ἥμερος ὄντως.

οὐκ ἤμην ἔμπροσθε πολὺν χρόνον, εἶτ' ἐγενήθην
εἰς ὀλίγον ἐτέων ἐναρίθμιος· ἄστατος αἰών,
οὐκ ἀνέδραστον ἔχων ἴδιον δρόμον· ἧς δ' ἔλαχέν τις
μοίρης, ταύτην ἐκτελέσει· καὶ γὰρ βασιλῆες.
ταῦτ' ἐπέγραψε πατὴρ ὁ Ζώσιμος εἵνεκ' ἐμεῖο,
αἰμνηστον ἔχων ψυχῆς πόθον ἀθανάτοιο.

c. Πλήρης ὁ φόρτος ἐστί μοι· καλῶς ἔχει.
κεῖται γὰρ νηδὺν εἰς ἐμὴν ὁ Νήδυμος
κὰκ τοῦδε παιδὸς παῖς γεγὼς ὁ Νήδυμος,
τρίτος δὲ παιδὸς νῦν πατὴρ ὁ Ζώσιμος.
μύσιν θεῶν τίς μοι δότω καὶ σύνφυσιν·
ἢν γὰρ θίγῃ τις εἰς ἄνοιξιν τὴν ἐμήν,
μήτ' ἐλπίδων ὄναιτο, μὴ τέκνων σπορᾶς,
ἀλλ' ἐγγένους ὄλοιτο πάνρειζον γένος.

III vel IV saeculi. — Recte Keil epigrammata sic disposuit, ut post mortem Nedymi (a), qui Zosimum habebat filium, Nedymus nepos (b), postremusque (c) Zosimus, qui antea Nedymum patrem sepeliverat, monumento hoc conditus sit. — 2 Νήδυμον et nomen proprium et adiectivum. — ΚΑ . ЄΝ . . . CΙΠΑΡ Leake, κα . . . θνοις τε π. Welcker, ΚΑ . . . . ЄΝΟΙCΤЄΠ Lebas. Keil καὶ ἀθανάτοισι παρόντα scribens ipse parum hoc conveniens esse sensit. Si Welckeri, qui raptim descripsit, et Lebasii consensui tantum tribuendum est, scripserim καταφθιμένοις τε παρόντα. Interim posui quod ex Leakii apographo facilius quis coniciat. — 3 sq. suppl. Keil; v. 4 tamen extremum vocabulum incertum; tradunt omnes ΟΙC. Confert Keil C. I. 2775 b ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ - παραμυθεῖσθαι τὸν πατέρα αὐτοῦ. — 5 extr. Lebas duas in lapide hastas vidit II; supplevit Keil: militem arguit leonis imago. — 6 θανόντων Keil, cf. v. 11. — 7 μ' ἐτέλεσσε Keil, ἀδεῶς interpretans ἀνενδεῶς. Ego ad φθεγγομένην refero: loqui se ait cippus sine metu, ne quis laudibus invideat. — 9 ΟΥ Lebas, Ο. ceteri, ὃν Keil. — 10 ΔΝ Leb. ΑΝ Welcker. — 16 sq. sic intellego: *instabile aevum est, quamquam haud fallente incedit vestigio, sed suum sibi proprium habet cursum: nam quam quisque sortitus est sortem, ea tenetur.* — 23 ΚΑΚ Lebas, ceteri ΚΑΙ. — 27 si probus esset poeta, scriberem μή γ' ἐλπίδων.

---

503. Chaeroneae. C. I. 1667. Stephani *Reise* cett. n. 35. Keil *Syll.* p. 192.

Χαίροις, Σώτηρε, καὶ ἐν θνητοῖσ[ι] ποθητέ.

θνητοῖς lapis. In promptu est explere numeros inserto ὦ ante Σώτηρε.

---

504. In vico Palama apud Triccam. Heuzey *le mont Olympe* p. 488.

. . . . . . πατὴρ | Πιθαίου· μάτηρ [μ]νᾶμα | ἀνέθηκε
Ἀγεσίαι πόλλ' ἐπ. οδυρομένη.

Et litterae ΓΜΣ et iota dativo adscriptum v. 2 bonae aetatis sunt indicia. — 1 ante πατήρ legitur ΝΕΛΙ ΟΣ, unde et versus et totius tituli initium fit; at neque illud intellego neque πατὴρ Πιθαίου. — ΤΗΡΝΑΜΑ, Μάμα matris nomen esse videtur editori. — 2 Ἀγεσίας an Ἁγεσίας scribam dubito.

---

505. Triccae. Lebas *Revue archéol.* 1844 I 315. Vssing *Inscr. ined. gr.* (1847) p. 33 ex suo apographo.

Πουτάλα Πουταλεία κόρα, Τιτυρεία γυνά.
Ὤλεο δὴ στυγερῶι θανάτωι προλιποῦσα τοκῆα[ς,
Πωτάλα, ἐγγαστρὸς κυμοτόκοις ὀδύναις·
οὔτε γυνὴ πάμπαν κεκλημένη, οὔτε τι κούρη,
πένθος πατρὶ λίπες μητρί τε τῆι μελέαι.
Ἑρμάου Χθονίου.

III a. Chr. saeculi esse ait Lebas. — Index et clausula (ex more Thessalico haec addita, cf. Leake *Travels* III n. 150) thessalicam referunt dialectum.

---

506. Triccae. Lebas III 1201.

a. *Ἴχνος ἐπιστήσας, π]αροδοιπόρε, τοὐμὸν ἐπιγνοὺς*
οὔνομ' ἀπερχό]μενος στεῖχε κατ' ἀτραπιτον·
ἐσθλότατον δ' ἀνδρῶν,] ὃν λεύσσεις τῷδ' ὑπὸ τύμβῳ
ἴσθι nomen patris . .]*ου Γῆρυν ὑπόντα τάφωι·*
ἤσκησεν δὲ τέχνα]ν Ἀσκλαπίω, ἃν ἐφύλαξεν
πᾶσι παρ' Ἕλλησιν δ]όξαν ἀειράμενος.
ἀλλὰ σὺ τάνδε γραφάν, ξέν', ἐ]πιγνοὺς ἄνδρα δίκαιον
ἴστω ἀφικόμενον χ]ῶρον ἐς εὐσεβέων.

b. *. . . . . Πλου]τώνια Φερσεφόνεια*
. . . . σεονεις . . . . πυλον

ησκησεν δὲ τέχνην] Ἀσκληπίου, ἣν ἐφύλαξεν
πᾶσι παρ' Ἕλλησι]ν δόξαν ἀειράμενος,
πέντ' ἐπὶ πεντήκοντα ἔ]τῶν· καθα[ρ]ὰν δὲ φυλάξας
σωφροσύνης ἀρετὴν τόν]δε λέλονχε τάφον·
τοὔνεκ' ἄρ' εἰς αἰεὶ χρηστοῖ]ς γένος ἐν πολιήταις
κλεινὸν τοῦδ' ἀγαθοῦ φ]ωτὸς ἀναγράφεται.

I sive ante sive post Chr. n. saeculi. — 3 sq. Γῆρυν defuncti nomen fuisse sumpsi, sed ne sic quidem omni ex parte placet distichon. — 5 ΑΣΚΛΑΓΙΩΙ erravit lapicida doricae fortasse formae ignarus, cf. v. 11. — 9 sq. Πλουτώνια certum videtur; reliquam distichi partem despero. — 13 ΚΑΘΑΓΑΝ — 16 ϽΩΤΟΣ quod potest et πρῶτος et φωτός esse; alterum praetuli, quia v. 15 γένος eiusdem enuntiati subiectum esse videbatur.

---

507. Triccae. C. I. 1778.

Φῶτα θεοῖς ἴκελον, στυγερῶν ἰήτορα νούσων
μοίρῃ ὑπ' ἀτρέπτῳ Κίμβερα τύμβος ἔχει·
ὃν πινυτὴ παράκοιτις ἀνιηρὸν [γ]οό[ωσ]α
θάψεν ἀκοιμήτοις δάκρυσιν Ἀνδρομάχη.

III fere p. Chr. n. saeculi. — 3 extr. ΠΟΟΙΡΑ Pouqueville. ὀδῖτα inscita interpolatione Psalidas Graecus. ποθέουσα Osann coniecit, recepit Boeckh. Lamentandi verbum certo fuit. — 4 ΑΝΟΛΟΜΑΣ Pouquev., cuius extremam litteram falsam esse inde constat, quod lapidarius C forma utitur; Psalidae lectio Pouquevillii errore confirmatur.

---

508. Dhamasi in valle Titaresii. Heuzey *le mont Olympe* p. 487.

Πα]ρθενίαν [λεί]πουσ' ἐρατὴν θυγάτηρ Κλεαρίσ[τ]ης
ἠδὲ Πολυγνώ[του] κεῖται Ἀρισταγόρα.

Litterae vulgares, nisi quod N habet formam paullo recentiorem. — 1 λείπουσ' Buecheler, προλιποῦσ', quod spatium excedit, Kirchhoff *Diar. arch.* 1860 p. 94.

---

509. Douklista apud Dolichen. Heuzey *le mont Olympe* p. 473.

Θ(εοῖς) κ(αταχθονίοις).
Ιατρόν μ' ἐςορᾶς, φίλε, Βιθυνὸν πόλεως Νικαίας,

πολ[λ]ὴν θάλασσα[ν] καὶ γαῖαν [π]ερι[νο]στήσας τὸ π[επρω]
μένον ὧδ' [ἀπέ]τεισα,
ἐξ[ηκοστὸν] καὶ πρῶ[τον ζήσας] λυκά[βαντα.

Litterae grandes pulcreque ornatae. — 2 ΓΕΡΙ.. *περινοστήσας* et *πεπρωμένον* invenit etiam Heuzey.

---

510. Kastri prope Dolichen. Heuzey *Olympe* p. 475.

Ἄνδρα Φίλα Δημόφιλον ἥρωα σὺν Αὐτοβούλῳ τέκνῳ.
ἥρωες χρηστοί, χαίρετε πάντοτ' ἐμοί.
θ]ν[ή]σκω, μῆτερ, ἐτῶν ἓξ καὶ δέκα ἡμερῶν.

Aetatis admodum recentis. — 1 verborum ordo ostendit scriptorem numeros adfectasse. — 2 ἥρωες sunt Demophilus et Autobulus, quod si verum est, facile emendatur v. 3, ubi ΩΝΙΣΚΩ traditur.

---

511. Achridae Epiri. Ex Pappadopuli apographo Henzen *Bullet. arch.* 1849 p. 149.

a. *Ἀντί σε κυδαλίμας ἀρετᾶς, πολυήρατε κούρα,*
ἦξεν εἰς Ἠλύσιον αὐτὸς ἄναξ Κρονίδης.

b. *Τηλυγέτη[ν] με τοκῆες ἀνέτρεφον ἀλδήσκοντες,*
Ἄπτυριν, ἠιθέων πάμπαν ἀρειοτέρην·
ἀλλά με μοῖρ' ἐδάμασσεν, ἐπεὶ τόδε μόρσιμον ἦεν,
τύμβον δ' αἶψα γονεῖς τεῦξαν ὀδυρόμενοι,
Ζηνωὶς μήτηρ τε πατήρ τέ [μ]οι Νεικό[δημος,
ἄμφω θυμοβόρῳ πένθει τειρόμενοι.

c. *Ἄπτυρι, κλεινὸν ἄγαλμα, καὶ ἐν φθιμένοισι φανείης*
ὥσπερ ἐν[ὶ] ζωοῖς κῦδος ὀπα(σ)σαμένα.

Sat recens esse epigramma testatur Henzen, qui adcuratam tituli imaginem non exhibuit. — 3 τηλυγετημε — 7 ΤΕΟΙΝΕΙΚΟΛΕ.. τέ μοι Νεικολεόντης Henzen, idemque matris nomen Ζηνωνίς esse voluit; recte fortasse. — 10 ἐν ζωοῖς.

---

512. Nicopoli. C. I. 1819.

— — — — — — — — — — — — — —

. . . . *αἱ δ' ἐπὶ τύμβ[ῳ*
κείραντο πλοκάμο[υς Μοῦσα, Θέμ]ις, Παφίη.

— — — — — — — — — — —

1 ΤΥΜΒΟΣ — 2 ΠΛΟΚΑΜΟ...... ΥΣΠΑΦΙΗΑΒ . . . Prospero quodam casu haec ad nos amplioris epitaphii verba pervenerunt, quae ab antiquiore poeta accepta et huius tituli scriptor et compluribus saeculis post Agathias in suum convertit usum A. Pal. VII 593:

Τὰν πάρος ἀνθήσασαν ἐν ἀγλαΐᾳ καὶ ἀοιδᾷ,
τὰν πολυκυδίστου μνάμονα θεσμοσύνας,
Εὐγενίαν κρύπτει χθονία κόνις· αἱ δ' ἐπὶ τύμβῳ
κείραντο πλοκάμους Μοῦσα, Θέμις, Παφίη.

---

513. Eretriae Phthiotidis. Lebas III 1178.

— — — — — — — — — — — —

καὶ νῦ[ν] ὀδύνας δ[ὴ τῇ] σ[υμ]βίῳ μου ἐνκαταλίψας
κῖμε ἀνέσθητος ὥσπερ λίθος ἠὲ σίδηρος,
οὐκ [ἀ]ί[ω]ν . . . . ὧδε κλαιόντων μοίρη[ν.
σ[εμνό]τατα ζ[ή]σ[α]ς [γ]άμοιο [τ]ὰ πάν[τ]' ἐτέλεσσα.

Praecedunt quattuor versuum exigua frustula. — 1 ΝΥΜ — ΔΙΙ ϹΤΗ ΒΙΩ — 2 hemistichium homericum. — 3 sq. ΛΙΟΝΤΑΕΛΕΩΥ . ΕΘΟΜΕΝΩΔΕ — ΜΟΙΡΗϹ ΤΑΤΑΖΑϹΗϹΤΑΜΟΙΟΚΑΠΑΝ . . ΕΤ κτλ'. v. 3 sententia aperta ex v. 2. — 4 extremis diffido.

---

514. Apud Aeanen Macedonum. Heuzey *Rev. arch.* 1868 II p. 25.

Ἁδίστας Μενέδημος ἔην πόσις· ἤροσε δ' αὐ[τ]άν
Βούτιχος· Αἰανὴ κρύψε [κ]αταφθι[μέ]ναν,
τίκτε δ' ἐνὶ κλ[άρ]οις Κερκείνιον· ἐγδὲ Φιλίππου
υἱοῦ τῶν ὁσίων ἀντίασεν κτερέων·
5 *τοίγαρ Κ[ρ]ηταιεῖ [Ῥ]αδαμάνθυι τοῦτο παρ' Ἅιδᾳ*
εἶ[π]εν, ὅτ' ὠδ[ε]ίνων παιδὸς ἔχει χάριτας.

ι fere a. Chr. n. saeculi epigramma elegantissimum correctum ab editore. — Hediste Menedemi uxor, filia Butichi, sepulta Aeanae, nata Cercinii in Pelasgiotide. — 2 ΦΘΙΙΙΙΝΑΝ — 5 ΙΑΔΑΜ κτλ'. — 6 ΕΙΓΕΝ litterae π forma est Γ. — ΩΔΙΙΝΩΝ.

---

515. Pydnae. C. I. Add. II 1957 b.

Ἀρτεμίδωρος Εἰαρίνῳ καὶ Σπόρῳ τοῖς ἀδελφοῖς μνείας χάριν.

Τῇδε καταφθιμένους διδύμους, δύο φῶτας ἀρίστους
Εἰάρινον τύμβος καὶ Σπόρον εἷς ἔλαχεν·
πατρὶς δὲ Ἡράκλεια καὶ Ἀρτεμίδωρος ὁ τεύξας
λάινον ἀμφοτέροις βωμὸν [ὕ]περθε τάφου.

II fere p. Chr. n. saeculi sunt litterae. — 3 Boeckh: *Heracleam intellege vicinam* i. e. in Lyncestorum finibus positam.

---

516. Aegis sive Edessae. C. I. 1998.

Ἥδε πέτρος κεύθει Γραφικοῦ δέμας, ε[ἰς μακ]άρων δὲ
ψυχὴν θεσπεσίην θῆκε θεὸς πεδ[ί]ον,
οὕνεκεν ἦν πανάριστος, ἐν ἠγαθέοις δὲ πολείταις
πρῶτα φέρων πινυτῆς κῦδος ἐκαρπίσατο·
εὔξατο δ' αὖ μακάρεσσι καὶ εἱμερτὴν παράκοιτιν
τοῦδε λαχεῖν τύμβου, γήραος εὖτε τύχοι.
Χαῖρε Γραφικέ.

III fere saeculi. — 1 suppl. Boeckh.

---

517. Edessae. Delacoulanche *Missions scientif.* 1858 VII 216.

a. *Καστρίκιόν με Φίλιππον ἐτύμβευσεν Τίτος υἱός*
Εἰονίου πελάγους ἄγχι καταφθίμενον·
ὀστέα δ' ἐνθάδ' ἔνεικεν, ἐπεὶ γλυκὺ καὶ μετὰ μοῖραν,
οὐχὶ μόνον ζωοῖς πάτριόν ἐστ' ἔδαφος.

b. *Ἡδαίαν Εὐκλείας τὴν καὶ Μαρίαν με θανοῦσαν,*
μητέρα τὴν ἰδίην υἱὸς ἔθαψε Τίτος,
ὀκτωκαιδεκέτης λειφθεὶς νέος, (ὀστὰ δὲ πατρός
εἰςενέθηκεν ἐμοὶ Δυρραχίου κομίσας·)
ἧχι Φίλιππον ἔθαψεν, ἐμὸν πόσιν· ἀλλὰ τροφείων
μνησθεὶς ἀμφοτέροις τύμβον ἔχωσεν ἕνα.

c. *Ὃς τὸν ἐμὸν παρὰ τύμβον ἄγεις, Τίτον ἴσθι Φιλίππου*
πατρὸς Ἐδεσσαῖον παῖδά με καὶ Μαρίας.

d. *Πατρὶς μέν μοι Ἔδεσσα, τὸ δ' οὔνομα Κλαυδία Γράπτη·
κεῖμαι δ' ἐνθάδ' ἐγὼ σύνγαμος οὖσα Τίτου.*

III vel IV saeculi videtur editori titulus esse. — 5 Ἡδαία nomen suspectum habeo. — 7 molestissima parenthesis; nam ἦχι adverbium (v. 8) revocat legentem ad v. 6.

---

518. Thessalonicae. Miller *Revue archéol.* 1865 II 66.

*Νουμήνιος Κοίνου.
Ἤματι [μὲ]ν γενόμην, ὧι καὶ κλυτότο[ξ]ος Ἀπόλ[λων,
τεσσα[ρ]ακαιδεχέτης δ' ἐ[ξέ]λιπον [β]ιοτήν·
τα]ὶπ[ῶι] δ' ὧι γενόμην [θ]άνον ἤματι, τηνίκα Φοίβωι
ἀστοὶ πανδήμους ἐ[ξ]ετέλουν θυσίας.*

I vel II a. Chr. n. saeculi. — Κοῖνος patris nomen apud Macedones haud inusitatum, unde non debebat editor Κοίντου corrigere. — 1 ΛΙΕΝ — ΤΟΕΟΣΑΠΟΛΝ — 2 ΤΕΣΣΑΟΑ — ΕΣΓΛΙΠΟΝΕΙΟΤΗΝ — 3 ΔΥΤΝ — ΟΑΝΟΝ — 4 ΕΕΕΤΕ omnia haec bene emendavit editor. — Septimo mensis die natus septimo obiit Numenius ad bis septimum annum vita provecta; ἑβδομαγενῆ etiam Platonem perhiberi sciunt omnes.

---

519. Thessalonicae. Delacoulanche *Missions scientif.* 1858 VII 288.

*Διογένης Ἡρακλείδου Μακεδών.
Ἡ ῥα ποθεινὸς πᾶσιν ἔβης δόμον Ἀίδος, οὔπω
εἴκοσ' ἐτῶν, μῆνα[ς] δ' ἓξ ἔτι λει[π]όμενος,
Δι[ό]γενες· [π]έν[θο]ς δὲ [λ]υ[γρὸ]ν στυγ[νό]ν τε [γο]νεῦσ[ιν
κάλλιπες ἀ[ί]διον γήραι τε[ιρο]μέν[οις.
ἀλλ' [ο]ὐκ ἔστι τύχην πρ[οφ]υγεῖν καὶ δαίμ[ο]να [θ]νητ[οῖς,
οὐδὲ παρώσ[α]σ[θα]ι μ[όρ]σιμ[ο]ν [ἦν] τὸ χρε[ών.*

Litterae vulgares. — 2 ΜΗΝΑΧ — ΛΕΙΙΟΜΕΝΟΣ — 3 ΔΙΓΕΝΕΣΓΕΝΟ . ΣΔΕΔΥΤΙ ΝΣΤΥΓΙ . ΝΤΕΤ ΝΕΥΣ — 4 ΤΕΝ . . ΜΕΝ — 5 ΠΡ . ΙΥΓΕΙΝ — 6 ΠΑΡΩ ΣΑΣΟΛΙΙΜ ΙΣΙΜ Ν ΙΤΟΧΡΕ ἦν τὸ χρεών Vsener.

---

520. Thessalonicae. C. I. 1973.

. . . .

Τοῦτο γὰρ ἐν ζωοῖσιν ἐπώνυμον ἔσχε γυναικί

εἵνεκεν ἧς ἀρετῆς καὶ σωφροσύνης μάλ' ἀρίστης.
τεῦξε δὲ τόνδε τάφον φίλιος πόσις Εὔτροπος αὐτῇ
οἷ τ' αὐτῷ, μετόπισθεν ὅπως ἔχοι ἀμπαύεσθαι
σὺν φιλίῃ ξυνῶς ἀλόχῳ, κεκλωσμένον αὐτῷ
τέρμ' ἐςιδὼν βιότου ἀλύτοις ὑπὸ νήμασι μοιρῶν.

ἐὰν δέ τις ἕτερον τολμήσῃ καταθέσθαι μετὰ τὸ ἐμὲ κατατεθῆναι χωρὶς τῶν τέκνων ἡμῶν ἢ μετακεινῆσ[αι τὴν σ]ορόν, δώσει τῷ ἱερωτάτῳ ταμίῳ (δην.) μυ(ρία) ,β (δισχίλια).

Litterae vulgares. — Praescriptum fuit nomen mulieris, de quo haec supersunt:

I..NIICLIIZACIO

Penelopen nominatam fuisse Keil aliquando coniecit.

---

521. Thessalonicae. C. I. 1966.

Μοῖραι καὶ Λήθη με κατήγαγον εἰς Ἀίδαο,
οὔπω νυμφείου θαλάμου καὶ παστάδος ὥρης
γευσάμενον· ἀθιγὴς δ' ἔλιπον φάος ἠελίοιο.

Litterae vulgares. — 3 male correxerunt γευσαμένην. Epigramma enim olim in virginis sepulcro scriptum nunc in iuvenis usum conversum est.

---

522. Thessalonicae. C. I. 1988.

a. *Κύματ[α] πορθμεύσας κεῖμαι νέκυς ἔνθα Σεκουνδίων*
γῇ πατρίδι κρυφθεὶς συνομαί[μ]οσι δάκρυ [π]ρολείψας,
τ]ρὶς δέκα[το]ν πλήσας ἐτέων τὸ πανύστατ[α] βαῖν[ο]ν,
λ]ύπην μ[η]τ[ρ]ὶ [λ]ι[π]ὼν κα[ὶ] πᾶσι βροτοῖς, ἑ[τάρ]ο[ι]σιν
δίχα μάχης ζήσας· ἐν συν[β]ίο[ι]ς δὲ π[ρ]όπασιν
πολλοὺς ε[ἷς] φιλ[έω]ν ἐκτησάμην ἄνδρα[ς] ἑτα[ίρ]ους·
ο[ὔ]τε [γυν]ὲκ' ἔλαβον, ἔ[ζ]ησα [δ]' ἐν εὐσεβίῃσιν·
ἀλλ'] ὅ[τ]' ἀ[π]ῃτήθην τὸ τέλος, ὃ ἔδει ποτὲ [δ]οῦναι,
δὴ] λά[κο]ν [ὠ]ρ[κ]ι[κ]ῶς συνομαίμονας, οὓς προ[λ]έλοιπα·
'μητέραν εὐσεβί[η] πολλῇ διασώσαθ', ἱκνοῦ[σ]μαι,
εἰδότες ἀνθρώπων γενεὴ ταχέως ὅτι λήγει·
σώματα γὰρ κατέλυσε Δίκη, ψυ[χὴ] δὲ πρόπασα
ἀθάνατος ὑ[ψ]οῦ πωτωμένη πάντ' ἐπακούει.'

b. *Εὐδαίμων [Σε]κουνδίων Θεσσαλονικεὺς ἐντάδε κεῖμαι,*
μήτε δίκην εἴπας, μήτε γυναῖκα λαβών·
ἀλλ' ἔθανον τριακοντ[α]έτης βιότου μέτρα [λ]είψας·
καὶ φωνῆς ἐπάκουε φίλης· χαίροις παροδεῖτα.

Titulus admodum recens pessime ex lapide descriptus est. — 2 ΜΑΙ ΝΟCΙ — ΤΡΟ — 3 ΔΕΚΑΩΝ et extr. ΒΑΙΝΩΝ corr. Hermann (*Progr. Lips.* 1833 p. 12), nisi quod δεκάτων necessarium non putavi. — 4 ΔΥΠΗ ΝΜΝΤΟΙΛΙΒΩΝ μητρί scripsi, μὲν προλιπών Boeckh. Mater in tertio eiusdem sepulcri titulo memoratur Ἰουλία Σεκούνδα Πο. Αἰλίῳ Πωλίωνι μετὰ τῶν τέκνων. — ΚΑΠΑCΙ — ΕΙΔΙΟΝCΙΝ βροτοῖσι πόθησιν Boeckh. At verba proxima δίχα μάχης ἔζησα postulant quo referantur. — 5 CΥΝΤΙΟC συμβίοις Boeckh, συμπλοίοις Hermann; emendatio incerta. — ΠΟΠΑCΙΝ. — 6 ΕΚΦΙΛΙΟΝ correxi. — ΑΝΔΡΑΕΤΑΠΟΥC corr. Boeckh. — 7 ΠΟCΕΚ Hermanni emendationem recepi, etsi difficiliorem certam tamen ex v. 15. — ΕΤΗCΑΛΕΝΕΥCΕΒΙΗCΙΝ . ΟΥC ους syllaba ex antecedenti versu huc delata esse videtur. — 8 ΔΑΜΟΝΑΓΗ quae scripsi certa non sunt; certa tamen sententia, quam non intellexerunt, coll. epigr. Apameensi supra n. 387 τὸ δ' ὀφειλόμενον ἀπέδωκα τῇ φύσει τέλος, eiusdemque tituli verba ἄμαχος ἐβίωσα μετὰ φίλων καὶ συγγενῶν conferri possunt cum Secundionis laude v. 4 sq. — ΛΟΥΝΑΙ — 9 ΛΑΒΕΝΟΡΧΙΧΩC ἀλλ' ἄρ' ἐνωρχηκώς Hermann, ἀλλά γ' ἐνωρχηκώς Boeckh. Dicendi verbum, si v. 8 bene refeci, necessarium est; λάκον num fuerit dubito. — 10 ΒΙΝ — ΙΚΝΟΥΕΕΜΑΙ sigmatismum qui fuisse videtur retinui. — 12 A. P. VII 388 ἀλλὰ Δίκα μιν ἔθαψεν, unde vanos esse patet Hermanni scrupulos. — ΨΥΔΕ et 13 ΥΛΟΥ corr. Boeckh. — 14 ΟΕΚΟΥΝ ὁ Σεκουνδίων Boeckh. — 16 ΔΕΙΨΑC.

---

523. Prope Thessalonicam. C. I. 1958.

Αὐρηλία Ἀρτεμιδώρα ζῶσα
τόνδε τάφον τεῦξεν ἐκ κοινῶν καμάτων αὐτῇ καὶ φιλίῳ ἀνδρὶ
τοὔνομα Δημητρίῳ, [συ]ζήσασα ἔτη τέσσαρα καὶ ἐννέα μῆνας·
κεῖσαι ἐν κοινῷ τάφῳ, ἄξιος ἧς ἐγένου σοφίας.
εἰ δὲ ὁ κληρονόμος ὁ ἐμὸς παραπέμψῃ τι τούτων, δώσει τῷ ταμιείῳ προστίμου (δην.) ͵ψν.

Quae latioribus litteris describenda curavi numerosae orationis referunt speciem. — 3 ἐγεύου Boeckh, at cf. supra n. 167.

524. Prope Thessalonicam. C. I. 1960.

Ουλπιος Ἀγαθόμορος χρηστῇ τῇ συμβίῳ.
χρηστὸν βίον βραχὺν ἰδοῦσα ἐνθάδε κοσμοῦμαι λίθῳ.
μνείας χάριν.

Vide ad titulum praecedentem. — Tetrametrum iambicum facere voluisse scriptorem auctor est Wilamowitz.

---

525. In vico Conduriotissa inter Dium et Petram sito. Heuzey *le mont Olympe* p. 479.

Γάιος εἱμαρτῇ ἀλόχῳ τόδε σῆμα θανούσῃ
θῆκε Λυκειανῇ μνημοσύνης ἕνεκεν,
ἣ συμ[βίω]σεν ἔτη δέκα, πέντε δὲ μῆνας,
σωφροσύνης [ἀρ]ετὴν ἤθεσιν [ἀραμένη.

Supplevit Heuzey. — 4 Kirchhoff *Diar. arch.* 1860 p. 94 σωφροσύνης μελέτην proposuit, at cf. epigr. Phrygium supra n. 384 σωφροσύνης δ' ἀρετὴν οἶδεν ἐμὸς γαμέτης. Participio ἀραμένη fortasse δεξαμένη praestat.

---

526. Apud Berrhoen. Delacoulanche *Archives des missions scientif.* 1858 VII 266.

Ενθα νέκυς κεῖμε Φιλήρεμος, ὃν ἐπόθησεν
δεσποσύνη Τύχης, καὶ ἀπήγαγαν δαίμονες αὐτο[ί
ζωῆς, καὶ θανάτου ἀναπόστατος τούτου ἐγενήθην.
Ἑρμιόνη με ἔθηκε γυνή· [παρ]ά[γ]ων χαίροις παροδεῖτα.

1 Φιλήρεμος nomen esse moneo contra Diltheium *Mus. Rh.* XXVII 416, cf. tit. Thessalonic. supra n. 522 κύματα πορθμεύσας κεῖμαι νέκυς ἔνθα Σεκουνδίων. — *Quem Fortuna domina ad sese revocavit desiderio capta, quemque ipsi dei e vita seduxerunt.* — 2 ΑΥΤΟΥ — 4... ΑΙΩΝ παράγων displicet; quid fuerit nescio. Clausula eadem in eiusdem tituli Thessalonicensis v. 17 καὶ φωνῆς ἐπάκουε φίλης· χαίροις παροδεῖτα.

---

527. Berrhoae. Delacoulanche *Missions scientif.* 1858 VII 268.

Ὠ]κυμόρου πινυτοῦ Κριοπίνου [ἐνθά]δε σῆμα,
ᾧ οὗπαι [π]έδων γένο[ς] μετόπισθε φανῖτε·
ἄμφω [γὰρ] προτέρους κὴρ ὀλοὴ δάμασ[εν·

τ]οῖν[ε]κά μιν στήλην γράψατο [Σω]ζομένη
κουριδίη [με]ρόπεσσι κὲ ἐσσομένοισι πυθέσ[θαι.

2 ΓΕΔΩΝ — 3 ΑΜΦΩΙ .. — 4 qualem verborum structuram sibi informaverit scriptor nescio. — . ΟΖΟ.

---

528. Haskevi prope Philippopolin. Dumont *Inscr. de la Thrace* p. 26 n. 58.

Ἀμφοτέρων τόδε σῆμα Σαβείνης Αἰμιλιανοῦ τε,
ἀνδρὸς κυδαλίμου καὶ πινυτῆς ἀλόχου.

---

529. Mahalé apud Philippopolin. Anaglypho vir exsculptus altera manu coronam altera gladium tenens. Dumont *Inscr. de la Thrace* p. 11 n. 15, qui partem priorem quae supra anaglyphum scripta est ex Tzoucalae, alteram ex suo edidit apographo.

Βίκτωρ Σκευᾶς ἐνθάδε κεῖμαι, πατρὶς δέ μου Θεσσαλονίκη·
ἔκτινε με δαίμων, οὐχ ὁ ἐπίορκος Πίννας·
μηκέτι καυχάσθω· ἐγὼ ἔσχον σύνοπλο[ν] Πολυνείκην,
ὃς κτείνας Πίνναν ἐξεδίκησεν ἐμέ.
κα[ὶ] Θάλλος προέστη τοῦ μνημείου ἐξ ὧν κατέ[λι]πεν [Βίκτωρ.

Idem argumentum in epigrammatis Trallensibus supra n. 290 et 291. Gloriatur Victor non Pinnae adversario, sed fato se occubuisse; *at,* inquit, *non iam superbiet, nam Polynicen reliqui sodalem caedem meam ultum.* Itaque Pinnas aut eodem certaminis die aut paullo post cecidit, utique vero ante positum Victoris monumentum. — 3 ΣΥΝΟΠΛΟΙΣ . . . Tzoucalas *σύν* praepositione in errorem inductus est. — Quae sub anaglypho scripta secuntur non vidit Dumont arte coniuncta esse cum superioribus. — 5 ΚΑΤΕ | . . . ΠΕΝ////.

---

530. Kararizi, nunc Philippopoli. Dumont *Inscr. de la Thrace* p. 24 n. 53.

Εἴ με θέλις, ὦ ξεῖνε, δαήμενε τίς πόθεν εἰμεί,
Λαδικίης πάτρις εἰμί, τουνομα Κυρίλλα,
οἰκοδόμου αλοχος Εὐκλαδίου, ὅς με θανοῦσαν
ἔκρυψεν . . . .
Αὐ(ρηλία) Κυρήλα Χρηστιανή
πιστὴ ἀείμνηστος.

2 *patriae sum Laodiceae*, πάτρις est πάτρης, nisi hoc ipsum in lapide scriptum est. — 4 ΕΚΡΥΨΕΝΟΣΙΝ ... ΟΙΣ | ΛΟΙΠ/////ΟΓΕΝ//// quae non expedio. — Mulieris nomen integrum subscriptum levius incisis sed grandioribus litteris.

---

531. Calliupoli. Dumont *Inscr. de la Thrace* p. 51 n. 100.

Μόλις ποτὲ ηὗρον δεσπότ[ην] εὐνούστατον
Τρύφωνα . . . . μου τὸ κάλλος ἠφάνισ[ε]ν·
εἰς [γ]ῆν ὀρ[μ]ωμένην ἤγαγε δόξα σὺν ῥοπῇ τοῦ κρίττονος
[πρὸς οὐρανόν κτλ'.

Videntur vitiosi esse senarii. — 2 ΤΡΥΦΩΝΑΤΟΝΕΝ .. | ΞΩΓΟΣΜΟΥΤΟ — 3 ΤΗΝΟΡΩ erunt quibus alia sententia latere videatur.

---

532. Perinthi. C. I. 2025.

Πολλαῖς ἐν πο]λίεσσι τέχνην [ἤσ]κησα πρὸ πάντ[ων
ψηφοδ[έ]τας δώροις Παλλάδος [ἀρ]άμενος·
υἷα λιπὼν βουλῆς σύνεδρον Πρόκλον ἰσότεχνόν μοι,
ὀγδ[ο]κοντούτης [nomen defuncti et moriendi verbum.

Litterae vulgares. — 1 supplevit qui primus edidit Ios. de Hammer. — 2 ψηφοδέτης Boeckh, qui participium posuit εὑράμενος. — 4 Boeckh *exempli causa* τοῦδε τάφοιο λαχών.

---

533. Perinthi. Ex Aristarchis apographo Dumont *Inscriptions de la Thrace* p. 36.

. . . . ὦ φίλε, μ[ὴ . . . τ]αχύ, μή με [πα]ρ[έλθῃς
γνῶθι] βίου τὸ τέλος, χαῖρε [λ]έ[γων.
Ῥαγέδ[α]φνος Μάρωνι ἐκ τῶν Μάρωνος
μνείας χάριν.

1 extr. ΠΑΡ ... μή με παρέλθῃς inde ab Theocrito usitata est versuum clausula. — 2 ΧΑΙΡΕΔΕΙ .. et hic et in v. 1 etiam alia latere posse quivis intellegit; cf. supra n. 344,3 γνῶθι τέλος βιότου et *orac. Sibyll.* fr. I 2 βίου τέλος οὐκ ἐσορῶντες.

---

534. Byzantii. Dethier et Mordtmann *Epigraphik von Byzanz* (*Act. acad. Vindob.* 1864 XIII) p. 64. Anaglypho vir expressus dextra volumen tenens adstante puero.

Θεόδωρος Δομιτίου, φύσι δὲ Ἐπικράτους, γραμματικός
ζήσας ἔτη λς.

Καὶ σὺ [π]άρος μούσῃσιν ἐνιπρέψας, Θεόδωρε,
τὴν κοινὴν πάντων ἦλθες ἀταρπιτὸν ἔπι·
πάτρη σοι γένεος Βειθύνιον, ἐν δ' ἄρ' Ἀθήναις
γραμματικῆς τέχνης οὔνομ' ἔδεξο μέγα·
Βύζαντος δὲ πόλει κλέος ἤραο, καί σε θανόντα
μήτηρ ὡς λαγόσιν θήκατο δεξαμένη.
Λούκουλλος φιλίας τάδε σοι μνημῄ' ἔγραψεν,
σῆς γλυκερῆς ψυχῆς κέντρον ἄπαυστον ἔχων.

III vel IV saeculi. — 1 CYNAPOC quod non correxerunt editores. — 2 ambigi potest voluerit poeta *ἀταρπὸν ἔπι* an *ἐπ' ἀτραπιτόν*. — 8 pro γλυκερῆς lapidarius errore λυγρᾶς vel πικρᾶς scripserat correctum subinde ab ipso.

---

535. Byzantii. Dethier et Mordtmann *Epigraphik von Byzanz* (*Act. acad. Vindob.* 1864 XIII) p. 62. Dumont *Rev. archéol.* 1868 II 254. Vtor etiam altero Mordtmanni apographo, quod Ioannis filii beneficio debeo.

Υἱὸς Ἀ]ριστάρχου [κεῖτ]αι πτολία[ρ]χος [ἐχ]έφρων,
ἔξοχα τόν ῥ' ἀγάπησε δάμαρ Βασίλεια Λεώκιν.
ζῆ.

Epigramma anno 359 recentius, quo anno *πολιαρχία* instituta est, cf. Boecking *Not. dignit.* I 174. — 1 ΛΙΑΙΧΟC//ΛΕΦΡΩΝ Dumont, ΛΙΑΙΧCC CΛΕΦΡΩΝ Mordtmann; correxi, hoc tantum in medio relinquens ab initio *υἱός* fuerit an nomen praefecti. Extremum enim v. 2 vocabulum Basiliae potius cognomen videtur esse.

---

536. Tomis. Cumanudes Νέας Πανδώρας I mens. Iun. 1868. Perrot *Inscr. inéd. des côtes de la mer noire* n. 1.

Οὐ ξένος, ἀλλ' ἀστὸς τύμβῳ ὑπὸ τῷδε τέθαμμαι
ε]ἰκοσέτης Ἀκύλας πατρὶ λιπὼν ὀδύνας.

Ζᾶ]ε, πάτερ, καὶ χαῖρε [θ]υγατράσιν, ἃς φθονερός τοι
δαίμων ἀντ' ἐμέθεν ωπασε γηροκόμους.
ὁ παράγων, χαῖρε καὶ σύ.

Litterae vulgares. — 2 ΟΙΚΟΣΕΤΗΣ et 3 ΤΟΕ corr. editor.

---

537. Tomis. Pessime ed. Desjardins *Annal. Inst.* 1868 p. 91. Ex meliore Sprattii apographo Babington *Transactions of the Royal Society* X new series p. 19. Denuo a Weickio descriptum ed. Christ *Act. acad. Monac. min.* 1875.

Ην] τις ἐμὰν μετὰ μοῖραν ἐμὸν βίον ἐξερεήνῃ,
χὤτις ἔην, τί δ' ἔρεξα, καὶ ουνομα πατρίδος ἁμῆς,
μανύσ[ει λίθ]ος ἅδε καὶ ἐσσομένοισιν ἀκούην·
πάτρα μοι πέλεται ματρόπτολις Εὐξείνοιο,
αστυ περικλήιστον ἐυμελίαο Τόμ[οιο.
ουνομα δ' ἦν Σκλάδατος, τέχναν δεδάη[μαι] ανακτος
Ἱπποκράτους θείοιο καὶ ἐσσομένοισιν ἀκούην.

II fere saeculi. Mira est dialectorum confusio; expectares ionice loquentem medicum. — 1 ὅσ]τις et ἐξερεείνει Spratt. ΕΖΙΕΕΗΝΗ Weick, unde et εἴ τις et ὅστις - ἐξερεήνη scribere poteris neque minus ἥν τις - ἐξερεήνῃ. — 2 ΤΙΤΕΡΕΖΑ Weick. — 3 μ]άνυσον τοσάδε Spratt. ΙΑΝΥC . . . ΟΟCΑΔΕ Weick. Ex Sprattii apographo conieceram μανύσει πέτρος ἅδε, cui nunc λίθος ἅδε praestare vidit etiam Wilamowitz. — 5 ΤΟΜΕ Desjard. ΤΟΜΡ Weick, Τόμοιο Spratt. In nummis Tomitanis caput laureatum Τόμου ἥρωος vel Τόμου κτίστου exhiberi docuit me Neubauer. — 6 δὴ Σκλάδατος Spratt. ΔΗΝCΚΛΑΔΑΙΟC Weick; nomen aut barbarum aut nondum bene lectum. — δ' Ἕλληνος ἄνακτος Spratt aperta interpolatione, ΔΕΔΑΗ ////// Desjard. ΔΕΔΑΗΝΑΝΑΚΤΟC Weick. Correxi.

---

538. Circa Theudosiam. Anaglypho expressus vir sinistra volumen tenens adstante puerulo. C. I. Add. II 2113 c.

Σαββίων Στεφάνου.
Ἐφθάσθης, δύστανε, τύχης δη[λή]μασι, καί σευ
πάντα λέλειπτ' ἀρετῆς, οἷς ἔπι τρυχό[μ]ε[θα,
ἦθος, νοῦς, ἀκμή· Μοῦσαι δέ σε [τὸ πρ]ὶν ἐν ἡμεῖν
τέρπουσαι νυνεὶ θρηνολογοῦσι, τάλαν.
ματέρι πένθος ἔφυς, λύπα πατρί· [οἷ]α δὲ δένδρου
κλῶν [νῦ]ν ἐκλάσθης ἔ[κτ]ομος εἰς Ἀίδαν,

Σαββίων· ἀλλ' ἔστω σοι ὁ πᾶς κοῦφο[ς] λίθος, [ὥ]σπε[ρ
πᾶσι πάρος ζώων ἧς σ[ὺ] προσηνότατος.

II fere saeculi. Plurima emendavit Graefe *Mém. de l' Acad. de Petersbourg* 1844 VI 3. — 2 legebatur ἐπιτρυχόμεθα. — 3 ΣΕΑΙΝΕΙΝΕΝ quas punctis notavi litterae incertae sunt. Buecheleri coniecturam recepi. — 4 νῦν σε corrigunt sine causa. Cf. Lini versiculum Μοῦσαι δέ σε θρηνέουσιν. — 5 ΠΑΤΡΙΑΔΕ — 6 ΚΛΩΝΝΕΚΑ — ΕΔΡΟΜΟΣ ἔνδρομος vix recte Boeckh; videtur mihi ille cum arboris ramo ab hortulano exsecto conparari. — 7 ΚΟΥΦΟΥ — ΥΣΠΕ ὥσπερ Buecheler. — 8 ΣΗ — Grammaticum Sabbionem fuisse docet et v. 4 et anaglyphum.

---

539. Phanagoriae. Anaglypho eques cum puero expressus. C. I. 2127.

Τειμόθεος Δασεῖος χαῖρε.
Τειμόθεος, ὁ πάτρας ὅσιος φώς, παῖς δὲ Δασεῖος,
τρῖς δεκά[δ]ας ἐτέων τερματίσας ἔθανες·
ἆ τάλαν, οἰκτείρω σε πολυκλαύστωι ἐπὶ τύμβωι,
ν]ῦν δὲ σὺν ἡρώων χῶρον ἔχοις φθίμενος.

II p. Chr. n. saeculo non recentius est. — 1 Πάτρας coniecit Anglus *Mus. Cantabr.* I 326 coll. Strab. p. 494, ubi κώμη Πατραεύς nominatur; ego patriam intellego. — 2 ΔΕΚΑΤΑΣΕΤΕΩΝ qui δεκάδας correxerunt nescio an alterum errrorem lapidario non recte condonaverint: poeta enim scripserat τρεῖς ἐτέων δεκάδας. — 3 Simonides οἰκτίρω σε, τάλαν Καλλία, οἷ' ἔπαθες. — 4 ΗΥΝ ηὖν δὲ συνηρώων Boeckh cum Welckero (*Syll.* 48), νῦν δὲ σύγ' ἡρώων plures coniecerunt. Verum vidit Graefe; σύν enim in illarum terrarum titulis genetivum interdum trahit, cf. C. I. 2114 c et d (ubi idem nomen Τιμόθεος).

---

540. In aliqua Thraciae parte. Ex ectypo descriptum Athenis misit Leo amicus.

Αὐτό με γενομέναν [γλυ]κεροῦ βιότου κατὰ δῶ[μα
ἀνδρὸς κουριδίου μοίρη [σ]βέσε, ὠκύμορος δέ
πεντεκα[ι]εικοσέτης δόμον Ἄιδος ἀ[σ]τυφελίκτου
ἤλυθον, Ἀτρ . ο . . δοιοὺς παῖδας προλιπο[ῦ]σα
αρτι νεηγενέας, [αὐτὴ δ' Ἀ]πρώνια δύσμορός [εἰμι.
οἴμμοι
π]αίδων [ν]ηπ[ιάχων, π]όσιος θυμαρέος ἐ[σθλοῦ,
ἠδὲ] νέας ὥρης καὶ φ . . . .

Aetatis admodum recentis. — 1 frequens est exordium *ἄρτι με γευόμενον ζωῆς βρέφος ἥρπασε δαίμων*, hoc loco cum *αὐτό* in ectypo esse adfirment testes oculati, idem certe valet quod *ἄρτι* neque est ad *δῶμα* referendum, *nunc ipsum*. — ΙΛ . ΚΕΡΟΥ — ΔШΙΙ. — 2 *σβέσε* Koehler. — 4 ΑΤΡ . Ο . . nihil hic mutari posse cum acerrime contendat Leo cumque graecum quidem nullum sit vocabulum his litterarum vestigiis aptum, sequitur nomen viri fuisse, quod ipsum in tanta thracicorum nominum barbarie non audeo adsequi. — 5 ΓΕΝΕΑϹΛ\ . . . . ΠΡШΝΙΑ mulieris nomen certo fuit. Monito vix opus est inde a v. 5 cum versus vitiosos esse adpareat certi iam nihil fere dari posse. — 6 ΟΙΜΜΟΙΤΑΙΔШΝΗΠ . . . . . | ΟϹΙ ΟϹ *πόσιος* Leo; patet interiectionem extra versus ordinem positam esse. Dein *ἐσθλοῦ* et *ἠδέ* dubitanter addidi. — 8 ΚΑΙΦΛΙ . . . . . . | . ΡΥΤΙΜΙ . . . Γ . . . .

---

541. Spalati prope Salonam Dalmatiae. C. I. 1830 ex Grutero.

Ἐνθάδε ἐγὼ κεῖμαι . . . . θ[εὸ]ς αὐτός.
Ἀχιλλεὺς κατέθηκεν. Τραῦλος.

1 ΖΕΙ . . . . . . ΝΗ . . ΙΘ . |. ϹΑΥΤΟϹ. Boeckh *Ζει* . . . (nomen defuncti) *νήπιος αὔτως*. — 2 Τραῦλος vocabulum nescio an non integrum sit.

EPIGRAMMATA CHRISTIANA.

542. Spartae. Conze et Michaelis *Annal. Inst.* 1861 p. 47. Melius Lebas II 211 c.

— — — — — — — — — —

Καλλιστονίκη ἐν βροτο[ῖς κεκλημένη·
ἐπεὶ δὲ μοῖρ' ἔκλωσεν ἐ[κλιπεῖν βίον,
λαχεῖν δὲ μικρὸν τῆσδε [τῆς γαίας μέρος,
μήτις γε σῶμα σώματος [τοὐμοῦ πέλας
κεῖσθαι ἐάσῃ· μοῦνος ἐς[κεῖσθαι θέλω·
πάντων ἀρωγὸς τῶν [θανόντων Ζεὺς ἔφυ,
ὡς νῦν ἔμοιγε τῆς ἰσαγ[γέλου τύχης
ἐχθρῶν ποτ' εἴ τις ἐπ[ιγελῶν ἁβρύνεται,
τοῦ δ[ὴ] κεραυνώσειεν [ἔχθιστον δέμας,
ἐπεγγελῶν, ὅπω[ς ἐμοὶ κεῖνός ποτε.

Eius aetatis est, qua haud inoffensi christiani suam profitebantur fidem (v. 7 sq.). — 1 suppl. Lebas. Callistonice aut mater aut uxor fuit defuncti. — 9 ΔΙΙ corr. Buecheler.

---

543. In Pyrgheto vico veteris Philae loco posito. Heuzey *le mont Olympe* p. 478.

— — — — — — — — — — — —

ἐκθύμως φιλέων δίδυμον κορυφὴν ἀρετάων,
εὐθυντάτην πίστιν ἠδὲ φιλοξενίην·
τῶν μέτα καὶ συνάπηρεν ἀπὸ χθονὸς ἐς βίον ἄλλον,
ξείνοισι προλιπὼν καί γε πένησι πόθον.

Christianum titulum esse evicit Keil *Mantissa epigr.* Numburgi 1864. — 1 Pind. Ol. I 13 δρέπων μὲν κορυφὰς ἀρετᾶν ἀπὸ πασᾶν. Confert Keil etiam epist. Timoth. I 1,5 τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου. — 4 Kirchhoff *Diar. arch.* 1860 p. 94 coniecit καὶ γενέτῃσι, cui recte obloquitur Keil: *in eo quod* πένητες *mortuum desiderant, manifesto posita est* φιλοξενίας *explicatio.*

---

544. In vico Condouriotissa inter Dium et Petram sito. Heuzey *le mont Olympe* p. 480.

Ὡς ῥόδον εἰαρινόν [σ]ε βροτοφθό[ρ]ο[ς] ἥρπασεν Ἅδ[ης,
Σέμνην· [πάν]τα θεὸς ζωῆς ἀφίλα[τ]' ἐν αὐτῇ.
. . . .
Σ[έ]μνη παροδίτες χέριν· χέρετε παροδῖτε.

1 ΒΕ — ΦΘΟ . ΟΝ corr. Kirchhoff *Diar. arch.* 1860 p. 95. — 2 ΤΛΗΤΑ — ΑΦΙΛΑΜΕΝ scripsi quae ferri posse viderentur. Bursian *Mus. Rh.* XVI 423 τλῆ τε θεὸς ζωῆς ἀφέλκεμεν αὐτήν. — 3 extrema littera ϲ superest.

***545.** Plataeis. Ex Rossii apographo vv. 1-4 Keil *Syll.* p. 174. Melius paullo Decharme *Missions scientif.* IV 507. Ego addidi v. 5 sq.

a. *Τῆσδε πάτρης τάφος ὅδε φιλόξενον ἐντὸς ἐέργι*
Χρύσην Σκεπτιανὴν, κρέσσονα Ἀλκινόου.
Μὴ λάθῃς μογέων, εἴπερ ἀνῦξε χρία κατεπίγει,
4 *ἀλλ' ἔνπρ[οσθ]εν ανυξον, ὅθεν θύρα σήματι τῷδε.*

b. *Εἴ τ]ις βούλετε ἀνῦξε . . . . πάντοθεν ἀ[νύξη·*
σῆμα γὰρ οὕτω τέτυκτε πρόσθεν ἀνυγόμε[νον.

5 ANYΞENIIIIΕLIIANI◡ΘENA nihil hic novi: cavetur ne quis undelibet aperiat sepulcrum. — Addidit Decharme tertii tituli fragmentum, cuius ex verbis φιλόξενον καὶ φιλόχριστον constat, quod ex reliquorum barbarie dudum suspicatus eris, christianam fuisse mulierculam.

V. ITALIAE GALLIAE HISPANIAE GERMANIAE.

MELIORIS NOTAE.

546. Romae in sepulcro ad viam Latinam reperto, post obruto. Picturas parietinas titulorumque imagines depinxit Secchi *Antico sepolcro greco scoperto in Roma* cett. 1843. Hinc C. I. III 6270. 6271.

a. *Αἰ]ν[ητὴ] πατρὶς Λυ[κί]ων ἐλοχεύσατο [γαῖα,*
ἀγλα]ὰ δ' ἐν τιμαῖς πρά[γματ' ἀναγράφ]εται
σοί,] μάκαρ· [οὐδέ σ]ε ἔθ' ἀελίου πάλιν [ὄμμ' ἀπο]πέμπει,
φ]εῦ, Πά[τρων, πατρίδος τηλό]θ[ι] θαπτόμενο[ν.

b. *Οὐ βάτοι, οὐ τρίβολοι τὸν ἐμὸν τάφον ἀμφὶς ἔχουσιν,*
οὐδ' ὀλολυγαία νυκτερὶς ἀμπέταται,
ἀλλά με πᾶν δένδρος χαρίεν περὶ ῥίσκον ἀνέρπει,
κυκλόθεν εὐκάρποις κλωσὶν ἀγαλλόμενον·
πωτᾶται δὲ πέριξ λιγυρὴ μινυρίστρια ἀηδών
καὶ τέττιξ γλυκεροῖς χείλεσι λειρὰ χέων,
καὶ σοφὰ τραυλίζουσα χελειδονὶς ἤ τε λιγύπνους
ἀκρὶς ἀπὸ στήθους ἡδὺ χέουσα μέλος.
Πάτρων, ὅσσα βροτοῖσιν ἐράσμια, πάντ' ἐτέλεσσα,
ὄφρα καὶ ἐν Ἀίδῃ τερπνὸν ἔχοιμι τόπον·
τἄλλα δὲ πάντα λέλοιπα, καὶ ἐν νεότητι κατέκτην,
οἴχηται πλὴν ἃ <πρὶν> ζῶν ἀπεκαρπισάμην.

c. *Πατὴρ Πάτρων μέν, Ἀππολεία δ' ἐγώ·*
τεκνῶ δὲ δισσὰ τέκνα, πατέρα δ' εὖ λέγω.

Praeterea ex eis qui in eodem sepulcro reperti sunt titulis hos memoro: in ara mutila *χαῖρε Πάτρων*, in basi statuae mutilae *χρηστὲ καὶ δίκαιε Πάτρων χαῖρε*, in tympano aediculae *Πάτρωνος [ἰα]τροῦ*, in pictura quadam parietis *γυνὴ Πάτρωνος, θυγάτηρ Πάτρωνος, Ἀντιγόνα, Ἀπολλώνιος*. Quae leguntur in anaglypho mutilo litterae - - - ΩΝ - - - - ΒΕΙΣ, bene supplevit Secchi *Νικίας καὶ Πάτρ]ων [πρέσ]βεις*, priore nomine addito ex C. I. 6446 *Νεικίας - Ξάνθιος τῆς Λυκίας, ἀρχιερασάμενος τῶν Σεβαστῶν καὶ πρεσβεύσας ἐκ τρίτου ὑπὲρ τῆς πατρίδος.* M. *Αὐρήλιος Ἀγησίλαος τῷ συμπολείτῃ μνήμης χάριν ἐποίησεν*, qui titulus haud procul a Patronis sepulcro inventus est. Itaque alterius saeculi habemus unum Patronis medici, Lyciorum legati ad Caesares epitaphium (a), alterum Patronis iuvenis (b), diples nota a tertio seiunctum, quod Apuleiae Patronis filiae est (c.) — Epigrammatis primi plane incerta restitutio; traditur sic fere:

Ν ΠΑΤΡΙϹ ΛΥ
ωΝЄΛΟΧЄΥϹΑΤΟ
ΑΔЄΝΤΙΜΑΙϹ ΠΡΑ
ЄΤΑΙ . ΜΑΚΑΡ
ЄЄΘ ΑЄΛΙΟΥ ΠΑΛΙΝ
ΠЄΜЄΠΙϹЄΥΠΑ
Θ ΘΑΠΤΟΜЄΝΟ

Secchii Franzii Welckeri (*Mus. Rh.* III 1845 p. 259) conamina inutile est enumerare; certa enim neque illi neque ego invenimus, nisi quod alterius distichi sententiam recte adsecutus esse videor: *neque te iam solis lux salvom in patriam reducet, procul a patria hic sepultum.* — Alterum epigramma describit sepulcri parietes variis ornatos arboribus (*πᾶν δένδρος* v. 7), quibus variae insident aves, similesque omnino picturae videntur villae Livianae quae *ad Gallinas* dicitur. — 15 *κατέκτην* integrum reliqui licet fortasse corruptum. — 16 ΟΙΧΗΤΑΙ probam formam in *ᾤχετο* mutabant; probabilius *πρίν* interpolatum esse.

---

547. Caralibus Sardiniae. C. I. 5759. Octo sunt epigrammata latina, duo graeca.

a. *Εἰς ἴα σου, Πώμπτιλλα, [κ]αὶ [εἰ]ς κρίνα βλα[σ]τείσειεν*
ὀστέα, κα[ὶ] θάλλο[ι]ς ἐ[ν] πετάλοισ[ι] ῥόδων
ἡδυπνόου [τ]ε κρόκου καὶ ἀγηράτου ἀμαράντ[ου,
κεὶς καλὰ βλ[α]στήσαις ανθεα λευκοίου,
ὡς ἴσα ναρκίσσωι τε πολυκλαύτωι θ' ὑακίνθωι
κ]αὶ σὸν ἐν ὀψιγόνο[ις] ανθος ἔχοι τι χρόνος.

ἥδε γ]ά[ρ], ἡνίκα πνεῦμα με[λ]ῶν ἀπέλυε Φίλιππος
λοίσθιο]ν ἀκροτάτοις χε[ίλ]εσι προςπελάσας,
σ[τᾶ]σα [λ]ι[π]οψυχ[οῦ]ντος ὑπὲρ γαμέτου Πώμπτιλλ[α
τὴν κείνου ζωὴν ἀντέ[λα]βεν θα[ν]ά[τ]ου.
τ]οίην [συ]ζυ[γ]ί[η]ν ἔτεμεν θεός, ὥστε θανεῖν μ[ὲν
Πώμπτιλλαν, γλυκεροῦ λύτρον ὑπὲρ γαμέτου,
ζ[ῆ]ν δ' ἀ[έκ]οντα Φίλ[ι]π[π]ον, ἐπευχόμενον διὰ παντό[ς,
συνκεράσαι ψυχ[ῆι] πνεῦμα φιλανδροτάτηι.

b. *Εστρεψεν μοιρῶν μία νήματ[α, καὶ τὸν ἄτεγ]κτ[ον*
αἷς ἰδίαις εὐχαῖς [ἡ] μ[ία θέλξ' Ἀίδην,
ἡ] περίφρω[ν Πώ]μπ[τ]ιλλα . . . .
ἥ]τις ὑπὲρ γαμέτου [τὸν β]ίον [ἐξέλιπεν.

I p. Chr. n. saeculi. — Cassium Philippum (cf. epigr. lat. i.) exulem in Sardiniam relegatum comitata est uxor Atilia Pomptilla (l. s. s.), cf. epigr. lat. c:

urbis alumna graves casus hucusque secuta
coniugis infelicis Atilia, cura Philippi
hic sita sum manibus gratis sacrata mariti,
pro cuius vita vitam pensare precanti
indulsere dei.

vv. 1 - 14 suppl. Lebas apud Alb. de la Marmora *Voyage en Sardeigne* 1840 II p. 570 sqq., nisi quod v. 2 θάλλοις scripsi (coll. v. 4) pro θαλλούς, quod non intellego, v. 8 λοίσθιον pro λήθην vel σιγήν (Franz), v. 11 τοίην cum Franzio pro οἵην. — 2 ΘΑΛΛΟ ΣΕΙ ΠΕ — 3 ἀγηράντου Franz, quo nihil opus est; novi titulum atticum IV saec., quem nuper a Leone amico missum edam in Addendis, ubi σωφροσύνη [δὲ σέθεν] θάλλει ἀγήρατος· τύμβῳ δέ κτλ'. — 7 - - Α ΗΝΙΚΑ — 10 ΘΑ ΙΑ ΟΥ — 13 sq. confert Wilamowitz Eur. *Suppl.* 1028 sqq. suae edit. ὡς ὅδ' εὐναῖος γαμέτας συντηχθεὶς αὔραις ἀδόλοις γενναίας ἀλόχοιο. — 15 ΝΙΙΜΑΤ . . . . Ν . . . Ι . . . ΙΚΤΥ supplevi. — 16 scribunt [τ]αῖς ἰδίαις εὐχαῖς, sed et Marmora et Muratori, qui horum carminum paucula frustula habet, ΑΙΣ tradunt. — ΧΑΙΣ . ΙΜ . . . ἡ μία θέλξ' Wilam. — 17 ΙΠΕΡΙΦΡΩΜΠΙΛΛΑ . . . . ΚΟ . . . . Ν Lebas ἡ περίφρων Π., Φιλίππου χρηστὴ ἄκοιτις. — 18 ΠΤΙΣ, dein post γαμέτου amplior lacuna, tum ΙΟΝΙΗ. Supplevit Lebas.

548. Nemausi. C. I. 6789.

D. M. C. Vibi Liciniani v. ann. XVI. m. VI. C. Vibius Agathopus et Licinia Nomas fil(io) optimo piissim(o).

Ἄνθεα πολλὰ γένοιτο νεοδμήτῳ ἐπὶ τύμβῳ,
μὴ βάτος αὐχμηρή, μὴ κακὸν αἰγίπυρον,
ἀλλ' ἴα καὶ σάμψουχα καὶ ὑδατίνη νάρκισσος,
Οὐείβιε, καὶ περὶ σοῦ πάντα γένοιτο ῥόδα.

---

549. Romae. C. I. 6856 ex Grutero, qui Vrsini schedis usus est.

Ὁ κλεινὸς ἶνις βασιλέων Ἀμάζασπος,
ὁ Μιθριδάτου βασιλέως κασίγνητος,
ᾧ γαῖα πατρ[ί]ς Κασπίας παρὰ κλή[θ]ρας,
Ἴβηρ Ἴβηρος ἐνθαδὶ τετάρχυται
πόλιν παρ' ἱρήν, ἣν ἔδειμε Νικάτωρ
ἐλαιόθηλον ἀμφὶ Μυγδόνος νᾶμα.
θάν[ε]ν δ' ὀπαδὸς Αὐσόνων ἀγητ[ῆ]ρι
μολὼν ἄνακ[τι Π]αρθικὴν ἐφ' ὑσμίνην,
πρίν περ παλά[ξ]αι χεῖρα δηΐῳ λύθρωι,
ἴφθιμον αἰαῖ χεῖρα δουρὶ κα[ὶ τ]ό[ξ]ω[ι
καὶ φασγάνου κνώδοντι πεζὸς ἱπ[πεύς τε·
ὁ δ' αὐτὸς ἶσος παρθένοισιν αἰδοίαις.

Mithridatem Pharasmanis filium a. 75 Iberorum regem fuisse monuit me Mommsen coll. C. I. L. III 6052, cuius nihil obesse quin fratrem fuisse Amazaspum credamus. Obest tamen hoc quod cum in Traiani expeditione Parthica cecidisse videatur Amazaspus (a. $11^5/_6$) idque iuvenili florens aetate (v. 12), fratrem ei fuisse 35 vel adeo 40 annis natu maiorem minime probabile est. Itaque eiusdem gentis alius fuerit quem non novimus Mithridates. Traiani autem socium fuisse Amazaspum cum recte alii coniecerunt tum confirmavit Mommsen eo, quod Nisibin urbem (cf. ad v. 5) Traianus cepisset, captam rursus perdidisset, perditam denique reciperavisset, coll. Cass. Dion. 66, 23. 26. 30. — 3 ΠΑΤΡΗC — ΚΛΗΟΡΑC qua forma offensus Meineke Κασπίοις παρὰ κλήθροις coniecit; at nec dativus satis aptus est nec κλῆθρα nomen videtur esse quod vituperetur. — 4 Ἴβηρ Ἴβηρσιν coni. Hermann; genetivum puto ex formularum quarundam similitudine additum esse, velut ἀγαθὸς ἐξ ἀγαθῶν ὄλβιος ἐκ μακάρων alia; quasi dixerit non se primum sed patrem iam proavosque apud Iberos regnum habuisse. — 5 urbs est Antiochia

Mygdonia s. Nisibis, ubi pugnans interfectus est Amazaspus. Recte vero Mommsen probabilius iudicat ossa nobilissimi viri quam lapidem ex Mesopotamia Romam transvectum esse; conicit igitur cum nec versibus transponendis nec corrigendis verbis poetae bono satisfieri posse videatur epigramma olim sepulcro ad Nisibin extruendo destinatum postea cum illic etsi crematus non tamen conditus esset conditorio Romae facto minus apte inpositum esse; confert tit. C. I. L. III 4060 *M. Petronius ... hic est crematus, ossa relata domi.* — Νικάνωρ pro Νικάτωρ coni. Mommsen, coll. Plin. *hist. nat.* VI 26,117 *oppida habet* (*Mesopotamia*) - *Antiochiam quae a praefecto Mesopotamiae Nicanore condita Arabis vocatur.* At cf. Dionis loci s. s. — 7 ΑΓΗΤΟΡΙ audacius Meineke ἀρειτόλμῳ, inepte Franz ἀγακλειτῶν. Adiectivo si opus est, unum invenies litterarum vestigiis aptum ἀρηΐῳι, quod pugnat cum metro. Itaque cum praesertim Mommsen *ducis* et *inperatoris* nomina iuxta posita nihil offensionis habere me docuisset, traditum retinui, lapicidae solum errorem corrigens. — 8 ΑΝΑΚΠΝΑΡΘΙΚΗΝ — 9 ΠΑΛΛΑΖΑΙ — 10 ΚΑΝΟΖΩΡ emendationem occupavit Haupt. — 11 ΠΕΖΟCΙΠΙ suppl. Scaliger. — 12 mutilum putant carmen periisseque mortis Amazaspi descriptionem; at ipse v. 12 docet hac de re nihil iam expectandum esse.

---

550. Romae. C. I. 6262.

a. *Κλαίει μέν σ' [ὁ] τεκν[ῶ]ν, κλαίει δ' Ἀγαθάνγελος ὡνήρ,*
μυρόμενος φιλίην τερπνοτάτην ἄλοχον,
μύρονται δ' ἀδελφοὶ Μηνᾶς καὶ Δάψιλος ἄμφω
ἠδ' ὅσσοι σ' ἐφίλουν κηπόθεον δι' ὅλου.
γηραλέη δὲ κόμη[ν] πολιὴν [τίλ]λουσα καθ' ὥραν
ἠρίον ἀμφὶ τεόν, Μοῦσα, χέω δάκρυα.
ἄλλο.
b. *Κεῖσαι δή, τέκνον καλόν, προλιποῦσα τοκῆας*
ἠδὲ κασιγνήτους καὶ πόσιν ἀμφιθαλῆ,
νούσου ὑπὸ στυγερῆς δεδαμασμένη· αὐτὰρ ἔμοιγε
πένθος ἀνείητον κάλλιπες οἰκτροτάτη·
γραῖα δ' ἀνήκεστον πένθος κατὰ μοῖραν ἔχουσα
ἀμφὶ τεὴν στήλην, Μοῦσα τέκνον, χέομαι.

II vel III saeculi. — 1 CΕΤΕΚΝΟΝ et 5 ΓΗΡΑΛΕΗΝΔΕΚΟΜΗΠΟΛΙΗΝ corr. Franz. — 3 transposuit verba Hecker *Comment. de Anth. graeca* (1852) p. 103 *μύρονται* M. κ. Δ. *ἄμφω ἀδελφοί*, qua ratione invito poeta *δέ* abiciendum esset. — 5 ΠΑΛΛΟΥCΑ corr. Meineke *Diar. litt. ant.* 1844 p. 1038; idem v. 10 ἀνιηρόν coniecit.

---

551. Romae. C. I. 6261 coll. Add. III 1266.

a. *Τὴν κυανῶπιν Μοῦσαν, ἀηδόνα τὴν μελίγηρυν*
λειτὸς ὅδ' ἐξαπίνης τύμβος ἄναυδον ἔχει,
καὶ κεῖται λίθος ὡς ἡ πάνσοφος, ἡ περίβωτος·
Μοῦσα καλή, κούφη σοὶ κόνις ἥδε πέλοι.

protome feminae, ad sinistram cithara, ad dextram lyra.

b. *Τίς μου τὴν Σειρῆνα κακὸς κακὸς ἥρπασε δαίμων;*
τίς μου τὴν γλυκερὴν ἥρπασε ἀηδονίδα,
νυκτὶ μιῇ ψυχραῖσιν ἄφαρ σταγόνεσσι λυθεῖσαν;
ὤλεο, Μοῦσα, ἐτάκη δ' ὄμματα ἐκεῖνα σέο,
καὶ στόμα πέφρακται τὸ χρύσεον· οὐδὲν ἔτ' ἐν σοί
λείψανον οὐ κά(λ)λους, οὐ σοφίης πέλεται.
ἔρρεται, μέρμηραι θυμαλγέες· αμμοροι ἐσθλῆς
ἐλπίδος ἄνθρωποι· πάντα δ' ἄδηλα τύχης·

Petroniae Musae.

II vel III saeculi. — 5 *κακῶς κακός* Gruter, *κακὸς κακός* Gerhard Visconti Stephani, quorum consensum spernere nolui. — 7 vidit Stephani haec verba ad solam lusciniam referenda esse, cui saepe ingruente frigore cita mors parata est. — 10 ΟΥΚΛΛΟΥϹ Gruter Visconti Stephani, ΟΥΚΕΙΔΟΥϹ Fabretti. — 11 *ἔρρεται* Gerh. et Steph. i. e. *ἔρρετε*. — Quod omnino quis in tam acres se profuderit questus non patet, vix integra est inscriptio; quam si cum eis quae praecedunt (n. 550) conparaveris fortasse mecum ad eundem tumulum pertinere senties: illic parentes maritus fratres filiam uxorem sororem lugent, hic omnes homines ereptam sibi doctam puellam eiusque artem musicam.

---

552. Romae. C. I. 6295.

Φλαβιανῷ ἥρωι πατὴρ Δῶρος τόδε σῆμα,
ἓξ ἐπὶ τοῖς δέκ' ἔτη μοῦνα βιωσαμένῳ·
Μοῖρα γὰρ Αἰολίδος πάτρης ἀπάνευθε Μυρίνης
θάψε τε καὶ μουσῶν εὖνιν ἔθηκ' ἀρετῆς.

II fere saeculi. — Elegans verborum et inventio et ordo est; non sic *fato abreptum sepelivit pater*, sed *fatum sepelivit*, *pater monumentum posuit*. Moriendi verbum nullum.

---

553. Neapoli. C. I. 5822.

Τὸν πάσης ἀρετῆς εἰδήμονα φῶτα Φίλιππον,
πρέσβυν Εἰαονίης ἐμπέραμον σοφίης,
Αὐσονίων ὑπάτου πατέρα κλυτὸν Ἀντι[γ]όνοιο,
θρέψε Μακηδονίη, δέξατο δ' Εἰταλίη.

IV saeculo etsi vix antiquius est epigramma (litterae ΑΓω), antiquae tamen simplicitatis imaginem refert. Antigonus consul non innotuit. — 2 sapientia ionica non in universum videtur graecarum litterarum peritia intellegenda, sed philosophiae maximeque physicorum studia. — 3 ΑΝΤΙΓΟΝΟΙΟ.

---

554. Romae. C. I. 6197.

Κλαύδιος ἰητὴρ Ἀγαθήμερος ἐνθάδε κεῖμαι,
παντοίης δεδαὼς κραιπνὸν ακεσμα νόσου·
ξυνὸν τοῦτο δ' ἐμοὶ καὶ Μυρτάλῃ εἶσα συνεύνῳ
μνῆμα· μετ' εὐσεβέων δ' ἐσμὲν ἐν Ἠλυσίωι.

Claudius Agathemerus Lacedaemonius Persii sodalis, cf. vita Persii. Et coeptum est illo tempore iota mutum in privatis saltem titulis modo adici modo omitti.

---

555. Bononiae. C. I. 6223. Descripsit Wilamowitz.

Θ(εοῖς) κ(αταχθονίοις).
Ἄνδρα φίλον φθίμενον Διονύσιον ἐνθάδ' ἔθηκεν
Δελφὶς ἑόν, τιμῶσ' εἵνεκ' ὁμοφροσύνης·
καὶ φιλίῃ νίκησεν ἀδελφειῶν ὁμόνοιαν
ἐσθλὸς Ἀθήναιος ἐν θαλάμοιο τέλει,
ος τόδε σῆμ' ἐτέλεσσε τεθνειότι θεσμὸν ἀέξων
εἵνεκεν εὐνοίης ἧς ἔχε πιστο[τ]ά[τ]ης.

Litterae ε solita lunata forma est. — 4 ἐν θαλάμοιο τέλει explicant *in lecti i. e. sepulcri sumptu*; at θάλαμος nisi accedat epitheton non est sepulcrum, neque sic perspicitur quis fuerit ille Athenaeus. Lucem adfundit ultimus versus: εὐνοίας enim laus non decet cognatum sed patronum, nec quale officium Athenaeus habuerit tacetur: erat enim θαλάμου φύλαξ vel *cubicularius* Dionysii. *Servus libertusve ipsis defuncti fratribus pietate victis monumentum faciendum curavit.* — 5 θεσμὸν ἀέξων *id quod tribui ius fasque erat tribuens.* — 6 ΠΙCΤΟΡΑΓΗC corr. Welcker *Syll.* 88.

556. Romae. C. I. 6300.

Τὴν Διὸς ἀμφίπολόν με Χελειδόνα, τὴν ἐπὶ βωμοῖς
σπένδειν ἀθανάτων γρηὺν ἐπισταμέναν,
εὔτεκνον, ἀστονάχητον ἔχει τάφος· οὐ γὰρ ἀμαυρ[ῶ]ς
δαίμονες ἡμετέρην ἔβλεπον εὐσεβίην.

Dis Manibus Chelidonis sa[crum]. Floria Chelidon vixit annis LXXV.

I vel II saeculi. — Conferunt Callimachi ep. 41 Schn. et ad v. 3 sq. Diotimi A. P. VI 267 *οὐ γὰρ ἀφαυρῶς ἐκ Διὸς ἰθείης οἶδε τάλαντα δίκης*, unde simul adverbium *ἀμαυρῶς* confirmatur; traditur ΑΜΑΥΡΟϹ.

***557.** Neapoli. Anaglypho mulier sedet iuveni dextram iungens. C. I. 5817.

Μνῆμα φιλοφροσύνης Ἄστηι τόδε Δάφνις ἔτευξε,
καὶ ζῶσαν στέρξας καὶ φθιμένην ποθέων.

I saeculi. — Aemulatur poeta veterum Atticorum simplicitatem, cf. supra n. 44 et 48.

***558.** Romae. C. I. 6292.

Σεμνὴν Πηνελόπην ὁ πάλαι βίος, ἔσχε δὲ καὶ νῦν
σεμνὴν Φηλικίταν, οὐ τάχα μειοτέρην·
βουλομένης δὲ θανεῖν ἀνδρὸς προτέρην σφετέροιο
ἔκλυες, ὦ δαῖμον, πολλάκις εὐχομένης.
τοιγάρτοι καὶ ἐμεῖο δικαιοτέρην ὄπ' ἄκουσον
εὐχομένου, Πλούτων, ἣν εἰς Ἀίδαο περήσω
εὑρεῖν τὴν ἰδίαν Φηλικίταν παρὰ σοί.
Κλαύδιος ἰητὴρ Ἀγαθεῖνος τήνδε ἀνέθηκεν
εἰκόνα Φηλικίτας, μάρτυρα σωφροσύνης.

II fere saeculi. — 1 *ἔσχε δὲ χὼ νῦν* Franz nec pulcre neque necessario opinor. — 7 simillimum epigramma Melium supra n. 266 *μὴ μύρου, φίλ' ἄνερ, με· καὶ αὐτὸς ἐκεῖ γὰρ ὁδεύσας-εὑρήσεις τὴν σὴν σύγγαμον* Εὐτυχίην (Felicitatem).

---

559. Romae. C. I. 6276.

Ποπιλίης τάφος οὗτος· ἀνὴρ δ' ἐμὸς αὐτὸν ἔτευξεν
Ὠκέανος πάσης ἐμπέραμος σοφίης·

κούφη τοιγὰρ ἐμοὶ πέλεται κόνις· ἐν δ' Ἀχέροντι
ὑμνήσω τὴν σήν, ὦ ανερ, εὐσεβίην.
μέμνεο κὴν ζωοῖς ἐμέθεν καὶ πολλάκι τύμβῳ
σπεῖσον ἀπὸ βλεφάρων δάκρυ' ἀποιχομένῃ,
καὶ λέγε Ποπιλίην εὕδειν, ἄνερ· οὐ θεμιτὸν γάρ
θνήσκειν τοὺς ἀγαθούς, ἀλλ' ὕπνον ἡδὺν ἔχειν.

ɪɪ saeculi. Vt postrema Callimachi imitatorem, ita etiam reliqua bonorum poetarum lectione inbutum produnt scriptorem. — 2 cf. supra n. 553 Ἰαονίης ἐμπέραμον σοφίης. — 7 οὐ εμιτόν, scilicet λέγειν.

---

560. Neapoli. C. I. 5819.

a. *Στάς, ξένε, τάνδ' ἄθρησον ἐπὶ στά[λλ]αι Κλεοπάτραν,*
ἃν φθόνος εἰς Ἀίδαν, οὐ χρόνος ἠγάγετο,
μορφᾶς ἇι πρωτεῖον ἔχειν δωρήσατο Κύπρις,
ἔργα δ' Ἀθαναία τερπνὰ σαοφροσύνας,
Μοῦσα δὲ καὶ σοφίαν καὶ πακτίδα τὰν φιλέραστον,
συμφωνίαν ἐρατοῖς μειξαμένα μέλεσιν·
καὶ γνοὺς ὡς θνατοῖ[ς] οὐδὲν γλυκερώτερον αὐγᾶς
ζῆθι κάλ[ω]ν τείνας οὔριον εὐφροσυνᾶν.

b. *Εἰ καί σου κεύθει κάλλος νέον, ὦ Κλεοπάτρα,*
τύμβος καὶ φροῦδον σῶμα λέλογχε κόνις,
ἀλλ' ἀρετὰ βιοτᾶς αἰὲν ζωοῖσι μέτεστι,
ψυχᾶς μανύουσ' εὐκλέα σωφροσύνην.

ɪ saeculi. — 1 ϹΤΑΜΑΙ corr. Reinesius. — 5 *Musa eruditionem dedit et lyram amatoriam deditque carminibus addere cantum.* Quam sententiam non erigunt sed debilitant qui verba mutant, velut Hermann συμφωνεῖν-δειξαμένα. Licentia metrica ferri ut potest ita debet. — 7 ΘΑΝΑΤΟΙΟ corr. Valckenaer. — 8 ΚΑΛΟΝ corr. Reinesius; male vero Valcken. εὐφροσύνᾳ nec melius Franz εὐφροσύνας. — 12 σωφροσύναν Franz.

---

561. Neapoli. C. I. 5818.

Λευκία Εὔφρονος.
Εὔφρων Ἡρακλείδου.

Ἠδ' Εὐνοστιδέων θήκη, ξένε, Εὔφρονα κρύπτει
χρηστόν, ὃς ἐν ζωοῖς ἤπια ἔκευθε νόω[ι.

Καὶ δὲ σέο κρύπ[τει κάλλος ν]έον [ἡ κόνις ἥδε
χρηστήν, ἡ . . . .

I vel II saeculi. Nomina praescripta sunt cursivis quae dicuntur litteris. — De Eunostidis, quae est una ex phratriis Neapolitanis, cf. C. I. III p. 716. — 3 restituit Franz coll. ep. anteced. n. 560, nisi quod κόνις pro σορός scripsi. — 4 ex prioris pentametri similitudine factus tamen difficultates movet. Superant haec:

ΧΡΗΣΤΗΝΗΠ
ΤΣΠ Χ ΙΑΙΔΟΣ

Accusativus χρηστήν, qui respondet ad χρηστόν v. 2, non habet quo referatur; uxor adpellatur, sed nomini locus non est; extremum denique vocabulum nescio αἰδοσ[ύνη] sit an [κὰν] Ἀίδος.

---

562. Romae in aedibus Rondaninis repperit mihique benigne misit F. de Duhn.

Αἰαῖ συνλέκτροιο σαόφρονος, αἰαῖ ἀνιγροῦ
δαίμονος, ὃς ζωᾶς εἷλε φίλαν ἄλοχον·
καὶ σὺ μέν, ὦ πάντειμε, γόων [ἀ]πάτερθεν ἰαύεις,
μοχθηρὸν μερόπων ἐκπρολιποῦσα βίον·
σὸς δὲ πόσις δύστλητα πανημέριος τολυπεύσει,
οσσων ἀέναον δάκρυον ἐκπροχέων·
οὐ γὰρ ἀμειλίκτους κραδίης ὀδύνας ἀκ[έοι]το
ἀθάνατος παλάμῃ κρᾶτ' ἐπαφησάμ[εν]ο[ς,
ἐς δ' ὅσον ἐνπνείει βιοτόν τε ἐπὶ ἦμαρ ἐρύκει
δύσμορος ἀντλήσει πένθος ἀεξίβιον.

II vel III saec. — 3 ΓΟѠΝΠΑΤΕΡΘΕ corr. O. Richter collega. — 7 ΑΚ //////ΤΟ et 8 ΦΗΣΑΜ//////⁀//, ita ut duae ternarum litterarum lacunae explendae sint. Pugnat cum traditis Wilamowitzii coniectura ἀκέσαιτο ἀθάνατος παλάμῃ-ἐπαφησαμένῃ. Recepi quem ille proposuit optativum (sed praesentis temporis propter spatium), qui satis male ἄν particula caret, et ἀθάνατος dictum sumpsi pro ἀθανάτων τις, neque hoc aut magis aut minus barbare. Olim conieceram ἀκ[έον]το ἀθάνατο[ι] - ἐπαφησάμ[εν]ο[ι], ubi neminem offenderit παλάμῃ singulari numero positum.

---

563. Neapoli. C. I. 5820.

Τρειναχρία γαῖα με λοχεύσατο, τοὔνομα Οὐήραν.
σωφροσύνης βιότῳ κῦδος ἐνεικαμένην·

κουρίδιος δὲ πόσις· κρύψε χθονὶ τῇδε καλύψας,
δακρυχέων ἐπ' ἐμοὶ συχνὸν ἀπὸ βλεφάρων,
κηδεύσας ἀρετῆς ἀντάξιον ἡμετέρησιν,
ἡλικἵης ἐτέων εἴκοσι καὶ τετόρων.
ὦ θνητῶν ὀλίγος τε βίος καὶ ἄφευκτος ἀνάγκη,
ὥς με τάχος βιότου νόσφισε καὶ γαμέτου.

Cornelianus scriba coniugi inconparabili contra votum.

II fere saeculi. Doricae dialecti causa est insulae doricae memoria. — 1 γαία ex γαίη fictum esse adnotat Franz. — 4 cf. supra n. 559,6 σπεῖσον ἀπὸ βλεφάρων δάκρυ' ἀποιχομένῃ.

---

564. Romae. C. I. 6302.

Κλαύσατε πάντες ἐμὸν γοερὸ[ν μό]ρον, ὦ παριόντες,
στάντες ἐμῆς [ὀλί]γον πρόσθε λυγρῆς σποδιῆς,
κλαύσατε τὴν δύστηνον, ἐφ' ᾗ μέγα πέν[θος] ἔχουσιν
νυκτὶ καὶ ἠελίῳ δυστοκέες τοκέ[ες·]
ἧς ζυγὸν οὐκ εἶδον τὸ γαμήλιον, οὐδ' ὑμέναιον
ᾖσέ τις οἰνοχαρὴς πρόσθεν ἐμῶν θαλάμων.

II saeculi. — vv. 1. 3. 4. suppl. Maffei, v. 2 Brunck. — 2 πρόσθε λυγρῆς σποδιῆς, cui voci resonat v. 6 πρόσθεν ἐμῶν θαλάμων. — 5 A. P. VII 334,13 οὐχ ὑμέναιον ἄεισε περικλυτόν, οὐ τέκος εἶδε (mater) et ep. Smyrnaeum supra n. 236 ὧ παστὸν οὐθείς, οὐχ ὑμέναιον ᾖσέ τις.

---

565. Florentiae. C. I. 6278.

Ἦν ὅτε μοῦνον Ὑγεῖνον ἀδελφεὸν οἵ με τεκόντες
πένθεον, ἡνίκ' ἐγὼ πενταετιζομένη
παρθένος ἐν γονέεσσιν ἐθήλεον, ἡ ἀγαπητή
ἤλυθα τὴν φρικτὴν εἰς Ἀίδαο πόλ[ι]ν.
οἳ ἐμὲ γ[ει]να[μέν]η μῆτερ Βένους, ο[ἳ Χ]αρίτωνος
πολλάκι βω[ο]μένον· 'χαῖρε Πρόκλα θύγατερ.'

II saeculo non antiquius. — 1 exordium creberrimum, vid. Ind. Anth. Pal. ed. Paris. — 2 εἰναετιζόμεναι Callimachus *h. Dian.* 179. — 3 sq. ἡ δ' ἀγαπητή Iacobs, quo non video quid lucremur. Franz praeterea v. 4 νῦν scripsit pro τήν, et sane aegre caremus quod verbis ἦν ὅτε opponatur. Articulum tamen si non traditus esset de coniectura·

ultro inferremus, nam ad τὴν φρικτήν quivis subintelleget ὁδόν. Itaque cum νῦν adverbio nullus locus sit, inconcinnius poetam locutum esse putabimus. — 5 ΓΗΝΑΤΙ... ΗΜΗΤΕΡ | ΒЄΝΟΥCΟ........ ΑΡΙΤWΝΟC quae scripsi certa sunt, unde non iuvat editorum commentis inmorari. Βένους i. e. *Venus*, quae scriptura non rarior ipso nomine est.

---

566. Romae. C. I. 6239.

a. *Ἐτῶν δ]εκοκτώ, μονογενῆ καὶ παρθένον*
Θεοδο]σίαν ἔθαψε Δωρόθεος πατήρ,
ἣν μ]ε[λλ]όνυμφον Τυβὶ μηνὸς εἰκάδι
εἷλες, πο]νηρὲ δαῖμον, ὅς τὸν ἔμπαλιν
οἶ νόσ]τον οὐκ ἔκλωσας, ὥσπερ ηλπισε.

b. *Ὀκτω]καιδεχέτης, ἔτι παρθένος, οἰογένεια*
Θευ]δοσία κεῖται Δωροθέου θυγάτηρ·
ἀλλ' ἄγε, ν]ηλεόθυμε Χάρ[ω]ν, τί σε τόσσον ἐνηής
τέρ]ψε λιποῦσα πατρὶ πένθος ἀπειρέσιον;

II fere saeculi sunt epigrammata, alterum ad verbum fere ex altero expressum. Prioris fragmentum i. e. exitus singulorum versuum *παρθένον, πατήρ, [μ]ηνὸς εἰκάδι, [τὸ]ν ἔμπαλιν, ὥσπερ ἤλπισε* editum C. I. 9840, tamquam novi tituli particula. — 1 et 5 Welcker, 2 et 3 (traditur ЄΜΟ ΝΥΜΦΟΝ) Franz restituerunt, versus quarti simplicissimum supplementum fugit utrumque. — 8 sq. falso eidem et expleverunt et interpretati sunt; intellego *age, Charon crudelis, quid te iuvat, amabilem hanc puellam a te raptam patri luctum movisse.* — 8 ΧΑΡΟΝ — 9 ΥΨЄ.

---

567. Romae. Vrnae anaglypho Vlixes cum Sirenibus expressus. C. I. 6288.

Ἀθάνατ[ος] μερόπων οὐδεὶς ἔφυ· τοῦδε Σεβήρα,
Θησεύς, Αἰακίδαι μάρτυρές εἰσι λόγου.
αὐχῶ σώφρονα τύνβος ἐμαῖς λαγόνεσσι Σεβήραν,
κούρην Στρυμονίου παιδὸς ἀμύμον' ἔχων,
οἵην οὐκ ἤνεικε πολὺς βίος, οὐδέ τις οὔ[τ]ω[ς
ἔσχε τάφος χρηστὴν ἄλλος ὑφ' ἠελίωι.

II fere saeculi. — 1 ΑΘΑΝΑΤΩΝ et 5 ΟΥΠΩ corr. Christ, quem citavit Franz. — 4 Severam *filiam Strymoniae subolis* i. e. patris ad Strymonem incolentis esse cum Boeckhio iudicat Franz. At vix probabile

patris patriam indicari, nomen taceri: παῖς Στρυμόνιος i. q. παῖς Στρύμονος, neque addam exempla.

---

568. Romae. C. I. 6249.

Σώφρονα Κρησκεντεῖναν ἔχων τάφος ἐνθάδε κεύθει,
τὴν πάσης ἀρετῆς κῦδος ἐνενκαμένην,
ἥτις ἐνὶ ζωοῖσιν ὅκως ἀνέτελλεν Ἑῷος,
νῦν δύνει δ' ὑπὸ γῆν Ἕσπερος ἐν φθιμένοις.

III fere saeculi. Conferunt Platonis ep. A. P. VII 670 ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν Ἑῷος, νῦν δὲ θανὼν λάμπεις Ἕσπερος ἐν φθιμένοις, quae satis inepte ad mulierem translata sunt. Hesperum *Aurorae et Cephali filium nonnulli dixerunt pulchritudine multos praestantem, ex qua re etiam cum Venere dicitur certasse, ut etiam Eratosthenes dicit eum hac de causa Veneris adpellari et exoriente et occidente sole videri, quare ut iam ante diximus iure hunc et Luciferum et Hesperum nominatum.* Hygin. *Astron.* II 42 p. 80 Bunte.

***569.** Olim Romae integer lapis, nunc Neapoli fractus. C. I. 6200.

a. *Πρωθήβην ἔτι κοῦρον, ἔτι χνοάοντος ἰούλου*
δευόμενον φθονερὴ μοῖρα καθεῖλε βίου,
πολλὰ σοφῆς χερὸς ἔργα λελοιπότα. βάσκανε δαῖμον,
οἵας οὐχ ὁσίως ἐλπίδας ἐξέταμες.
ἀλλὰ σύ, γαῖα, πέλοις ἀγαθὴ κούφη τ' Ἀκυλείνῳ
καὶ δὲ παρὰ πλευρὰς ἄνθεα λαρὰ φύοις,
ὅσσα κατ' Ἀραβίους τε φέρεις ὅσα τ' ἐστὶ κατ' Ἰνδούς,
ὡς ἂν ἀπ' εὐόδμου χρωτὸς ἰοῦσα δρόσος
ἀγγέλλῃ τὸν παῖδα θεοῖς φίλον ἔνδοθι κεῖσθαι,
λοιβῆς καὶ θυέων ἄξιον, οὐχὶ γόων.

b. *Εἰκοσέτη τὸν παῖδα θοὴ κατενήρατο μοῖρα,*
κἀστὶν ἐν εὐσεβέων ἣν διὰ σωφροσύνην.

Hordionia Polla.

II vel III saeculi. — Duo epigrammata quod feci, ipsi lapidi obsecutus sum, in quo vv. 10 et 11 lineola et spatio maiore inter se disiuncti sunt. — 9 ἔνδοθι nota poetam elegantiorem vulgare ἐνθάδε vitantem.

***570.** Romae. C. I. 6201.

Οὐχ ὁσίως ἥρπαξες ὑπὸ [χθόνα], κοίρανε Πλουτεῦ,
πενταέτη νύμφην πᾶσιν ἀγαλλομένην·
οἷα γὰρ ἀρχόμενον ῥόδον εὔπνοον εἴαρος ὥρῃ
ἐξέτεμες ῥείζης, πρὶν χρόνον ἐκτελέσῃ.
ἀλλ' ἄγ' Ἀλεξάνδρα καὶ Φίλτατε, μηκέτ' ὀδυρμοὺς
εἱμερτῇ κούρῃ σπένδετε μυρόμενοι·
εἶχεν γὰρ χάριν, εἶχεν ἐφ' ἡδυχρόοισι μετώποις,
αἰθέρος ὥστε μένειν ἀθανάτοισι δόμοις.
τοῖς πάρος οὖν μύθοις πιστεύσατε· παῖδα γὰρ ἐσθλὴν
ἥρπασαν ὡς τερπνὴν Ναΐδες, οὐ θάνατος.
Τινηίᾳ Ὑγείᾳ τῇ ἰδίᾳ
θρεπτῇ φιλτάτηι
μνήμης χάριν.

II saeculo non recentius, quippe iota ultimo dativo φιλτάτηι adscripto. — 1 et 3 sq. cf. epigr. anteced. 3 sq. — 1 χθόνα suppl. Wesseling. — 3 corrigunt ἀρχομένου et v. 4 ἐκτελέσαι, sed et coniunctivus a πρίν suspensus defendi potest et ἀρχόμενον bene habet. Nam non de veris principio agitur, sed de rosae primo flore: *sicut rosam verno tempore puellam tamquam radicitus evellisti, priusquam ad florem perveniret.* — 10 alii alia coniecerunt; nuper Ios. Kamp *Festschrift des Friedr. Wilh. Gymn. zu Coeln* (1875) proposuit ἥρπασαν ὥσπερ Ὕλαν. At nihil mutandum esse invitus docet dum in contrariam partem disputat Dorvillius *Chariton.* p. 260.

---

571. Romae. C. I. 6293.

D(is) M(anibus).

Νύμφαι κρηναῖαί με συνήρπασαν ἐκ βιότοιο,
καὶ τάχα που τιμῆς εἵνεκα τοῦτ' ἔπαθον,
νηπίη, οὐδὲ δυοῖν ἐτέοιν τέλος ἐξανύσασα,
Φιλησίη τὴν κλῆσιν, Αὐσονὶς γένος.

I vel II saeculi.

---

572. Romae. C. I. 6273.

Θ(εοῖς) κ(αταχθονίοις).

Εἴκοσί με ζήσαντα καὶ ἑπτὰ μόνους ἐνιαυτοὺς
Παυλεῖνον γαίη δέξατο νερτερίη·
καί μοι ἀδελφειὴ κεῖται νέη ἐγγὺς Ὑγείη
ἑπταέτης· τῆς δ' ἦν οὔτι γλυκειότερον.

M. Iulius Epictetus filis suis et sibi et Magiae Nice coniugi.

I vel II saec. — 4 pulcerrime hoc dictum.

***573.** Romae. C. I. 6241.

Λοιὼς Ἱππομέδοντας ὁμὰ χθὼν ἅδε καλύπτηι,
παῖδά τε καὶ γενέταν ἄμφω ἀποφθιμένως,
παῖδα μὲν ἐς λαιὰν ἐςιόντων χῆιρα τεθέντα,
δεξιὰ δ' ἀν[τ]ετάφη γηραὸς Ἱππομέδων·
ἀμφοτέροις δ' ἐπέθηκε χυτὰν κόνιν Ἱπποδάμεια,
μάτηρ Ποικιλίω ἐκγόνω ἀμφοτέρων·
ὅς (σ)φισι τώσδε τάφως ἐνεώσατο, τείχισε δ' Ἅιδαν,
πάππωι καὶ θείωι λοισθοτάτας χάριτας.

I saeculi. — Hippomedontem avunculum cognominemque fratrem flevit Hippodamia; Hippomedontem · avum cognominemque avunculum sepelivit Poecilius Hippodamiae f. — 4 ΔΕΞΙΑΔΑΝΔΕΤΑΦΗ nihil hac lectione certius. At cum dudum explosa sit forma δεξιάδην, optime correxit Dorvillius. — 7 Ἅιδης superstiti idem valet quod sepulcrum.

---

574. Loci incerti; Romae fuit in domo Guilfordi. C. I. 6858.

Ἐπιτάφιον.

Εὐτύχου ἠρίον εἰμὶ καὶ οὐ κενόν· ὀστέα γάρ μοι
πέμψεν ἀδελφειοῦ φροντὶς ἀπ' Εἰταλίης·
ἄλγεα δ' ἔλλιπε πατρί, πολὺ πλεῖον δὲ τεκούσηι,
ἃ τρίτον ὠδείνων οὐκέτ' ἀριθμὸν ἔχει·
στοργὴν δ' οἰχομένοιο περικλαίουσιν ἀδελφοί,
παῖδες δ' ὀρφανίην, χηροσύνην δὲ γυνή.
εἰ δὲ τριήκοντα ζωῆς μόνον ἔσχ' ἐνιαυτοὺς
καὶ δύο, τῷ φθονερῷ δαίμονι μεμφόμεθα.

Litterae elegantissimae saeculi fere I exeuntis. — 1 verba ΕΠΙΤΑΦΙ ΟΝΕΥΤΥΧΟΥ unum in lapide versum efficiunt; post Εὐτύχου interpunctum est. — 7 A. P. VII 561 (Iuliani Aegyptii) *εἰ δὲ νέος τέθνηκεν, ὑπέρτερα νήματα μοίρης μέμφεο.*

***575.** Neapoli. Anaglypho vir adstat manum porrigens puerulo, pone quem ad dextram mulier. C. I. 5816.

α. *Ἄγγελε Φερσεφόνης, Ἑρμῆ, τίνα τόνδε προπονπεῖς*
εἰς τὸν ἀμείδητον Τάρταρον Ἀίδεω;
β. *μοῖρά τις ἀεικέλιος τὸν Ἀρίστων' ἥρπασ' ἀπ' αὐγῆς*
ἑπταέτηι, μέσσος δ' ἐστὶν ὁ παῖς γενετῶν.
α. *δακρυχαρὴς Πλούτων, οὐ πνεύματα πάντα βρότεια*
σοὶ νέμεται; τί τρυγᾷς ὄμφακας ἡλικίης;

I vel II saeculi. — De antiquiore huius similiumque epigrammatum archetypo vide quae adnotavi ad titulum Cotiaeensem supra n. 371 conlatis quae iam secuntur. — 1 προπομπεῖς Welcker, quod cur sine causa positum censeat Franz non exputo; neque enim legitur in lapide προπέμπεις. — 3 respondet Mercurius, non se sed fatum in culpa esse additque consolans parentes priores obiisse eosque inter medium puerum sepultum esse. Deinde sive viator sive ipse poeta Plutoni crimina intendit atrocitatis.

576-578, quorum primus et tertius Romani, secundus Albanus titulus est.

I. C. I. 6257.

Μενεκράτης Ἀπολλωνίου υἱὸς ἐτῶν δ', μηνῶν δ', Τατίας Βαυκυλίδος δωρησαμένης τόπον Ἀπολλωνίῳ Ἀττάλου τῷ πατρὶ αὐτοῦ.

Ἄρτι με γενόμενον ζωᾶς βρέφος ἥρπασε δαίμων,
οὐκ οἶδ' εἴτε ἀγαθῶν αἴτιον εἴτε κακῶν·
ἀπλήρωτ' Ἀίδα, τί με νήπιον ἥρπασας ἐ[χ]θρ[ῶ]ς;
τί σπεύδεις; οὐ σοὶ πάντες ὀφειλόμεθα;

3 ΕΚΘΡΟΙC corr. Hagenbuch.

II. C. I. 6205.

Ἄνθος ἐγὼ λεγόμην, υἱὸς Ἑρμογένους τε καὶ Φύρμης,
ἀνθήσας δὲ καλῶς ἔτεσιν δυσὶν οὐχ ὁλοκλήρως
φωτὸς ἀφαρπασθεὶς πρόμοιρον βρέφος ἐνθάδε κεῖμαι,
καὶ οὐκ οἶδα εἴτε καλῶς εἴτε κακῶς ἔθανον.
ἀπλήρωτ' Ἀίδα, τί με νήπιον ἥρπασες οὕτως
σπεύσας τοῦ ζῆν με στερέσαι; ο[ὐ] σοὶ πάντες ὀφιλόμεθα;

1 matris nomen *Firma*. — 2 ΟΑΝΘΗCΑC, ubi prima littera folioli signum videtur esse. — 6 ΟΗ.

III. C. I. 6227.

D(is) M(anibus) s(acrum) Ti. Claudi Eugenetis. vix(it) ann(is) XI, d(ies) X. Ti. Claudius Anicetus pater fec(it).

Ἀπλήρωτ' Ἀίδη, τί με νήπιον ἥρπασες ἄφνω;
τί σπεύδεις; οὐ σοὶ πάντες ὀφειλόμεθα;

De tribus his epigrammatis vide ad n. 575.

---

579. In Foro Iulii. Alexandre *Rev. archéol.* 1861 I 370 coll. Miller *ibid.* II 10 sqq.

C. Vibio Liguri Maxsuma mater fecit.

Τὸν τάφον ἠργάζοντο γεραιοτέροις· ὁ δὲ δαίμων
νήπιον ἀντεβόλησ' ἑπταετε[ῖ] κλίματι.
συνγενέες γενέται τε ὁμοῦ, ὃν ἔθρεψαν, ἔθαψαν
Γάιον· ὢ μερόπων ἐλπίδες οὐ μόνιμοι.

II fere saeculi. — 2 ΕΠΤΑΕΤΕC corr. Miller, frustra tamen reconditiora quaerens. κλίνειν τινά i. e. *facere ut cadat aliquis.*

---

580. Incerti loci, nunc Veronae. C. I. 6222. Mihi descripsit Wilamowitz.

Σῆμα τόδ' Εὐδαίμων Διονυσίῳ, ὅν ῥ' ἕταρον ὥς
φίλατο καὶ Μούσαις ἔξοχα φιλαμένωι.
εἰ καί μοι θυμός, Διονύσιε, τείρεται αἰνῶς
ἀμφὶ σοί, ἀλλ' ἔμπης, οἷα πάρεστι, δέχου
ὕστατα δή, φίλε, δῶρα· τὰ δ' ἄλλα τοι, ὅσσα ἔοικε,
καὶ πάρος Εὐδαίμων δῶκε καὶ οἰχομένωι·
ζωὸν μὲν μεθέηκεν ἐλεύθερον, οὐδὲ πάροιθεν
οὔ σύγε ἐπειρήθης πώποτε δουλοσύνης·
ἦ γὰρ ἔης αὐτῶι κεχαρισμένος, ἔξετι παίδων
ἤπιος, ἐσλὸς ἰδεῖν, εὔνοος, ἀγχίνοος,
καρπαλίμως γράψαι σημή[ι]α δίπλοα φωνῆς
Ἑλλάδος εὖ εἰδὼς ἠ[δ]ὲ καὶ Αὐσονίων.

— — — — — — — — — — — —

I vel II saeculi. — 3 TEIPETAI Wilam. ΠΕΙΡΕΤΑΙ Maffei. — 11 sq. difficile dictu est quam inepte Franz distinxerit. — Post v. 12 apodosis videtur periisse ad protasin ζωὸν μέν v. 7 referenda.

---

581. Romae. C. I. Add. III 6687 b.

..... *ius Euandri l(ibertus) Satur(us).*

Ῥώμη καὶ ξε]ίνωι κούφη πέλεν, ἥ σε μάκαιρα
ἐσθλῶν εἰ]ς οἶκον δεσποτέων ἔθετο.
εἰ φθιμένην, ξένε, πί]στιν ὁρᾷς Σατύροιο θανόντος,
ἀλλ' οὔπω] πίστις σῆς κατέδυ πόλεως.

I vel II saeculi. — Franzii et Keilii supplementis mea praetuli.

---

582. Romae. C. I. 6268.

Atimetus Pamphili Ti. Caesaris Aug. l(iberti) l(ibertus) Anterotianus sibi et Claudiae Homonoeae conlibertae et contubernali.

Ἡ πολὺ Σειρήνων λιγυρωτέρη, ἡ παρὰ Βάκχωι
καὶ θοίναις αὐτῆς χρυσοτέρη Κύπριδος,
ἡ λαλίη φαιδρή τε χελειδονὶς ἔνθ' Ὁμόνοια
κεῖμαι Ἀτειμήτωι λειπομένη δάκρυα,
τῶι πέλον ἀσπασίη βαιῆς ἄπο· τὴν δὲ τοσαύτην
δαίμων ἀπροιδὴς ἐσκέδασεν φιλίην.

permissu patroni.

Aetatem nomina produnt. — Sunt praeterea in eodem lapide quattuor epigrammata latina, quorum primum quod ad defunctae vitam pertinet huc transcribam:

Tu qui secura procedis mente parumper
siste gradum, quaeso, verbaque pauca lege.
illa ego quae claris fueram praelata puellis
hoc Homonoea brevi condita sum tumulo.
cui formam Paphie, Charites tribuere decorem,
quam Pallas cunctis artibus erudiit.
nondum bis denos aetas mea viderat annos,
iniecere manus invida fata mihi.
nec pro me queror hoc; morte est mihi tristior ipsa
maeror Atimeti coniugis ille mei.

---

583. Romae. C. I. 6196.

Ἑκτὸν ἐπ' εἰκοστῷ πλήσας ἔτος Ἄβγαρος ἔνθα
ταρχύθη, μοιρῶν ὡς ἐπέκλωσε μίτος·
οἷ φθόνος ὡς ἄδικός τις ἀπέσβεσεν ἀρχόμενον φῶς,
λυπήσας τὸ γένος καὶ φιλίους ἑτάρους.
τύμβον δ' Ἀντωνεῖνος ἑῷ θέτο τοῦτον ἀδελφῷ,
οἷσιν ὁ πρὶν βασιλεὺς Ἄβγαρος ἦν γενέτης.

Abgarus pater (v. 6), rex Edessenus Caracallae insidiis a. 217 occubuit. — 3 ΟΙ ὧι corrigunt nulla probabilitate; nam neque iota adscribitur aut ω forma utitur lapicida, et rei aptius est οἷ.

RELIQVA.

584. Romae. C. I. 6250.

Ἀσίδος ἀρχιερῆος [ἄγ]αν κλυτοῦ υἱέα Μίθρου,
Λούκιον ἀθλοθετῆρα πάτρης Σμύρνης ἐρατεινῆς,
εὐγένι[ο]ν, σοφίαισι κεκασμένον, ἔξοχον ἀνδρῶν,
Αὐσόνιον δάπεδον βωμός θ' ὅδε σῆμά τε κρύπτει.

ὁ κεινήσας τὸν βωμὸν ἢ ἄλλο [τι] ἐκ τοῦ τάφου, ἀποδώσει δήμῳ Ῥωμαίων δηνάρια πεντακιςχίλια.

III fere saeculi. — 1 ΑΙ | ΑΝ corr. Montfaucon. — 3 ΕΥΓΕΝΙΑΝ falso Brunck εὐγενίᾳ σοφίᾳ τε. Adiectivum fuisse sive εὐγενίδην sive εὐγένιον certum est. Εὐγενίδην nomen putabat Wilamowitz. — Mithras ἀρχιερεύς erat τῆς Ἀσίας ναῶν τῶν ἐν Σμύρνῃ i. e. eorum sacrorum quae ad τὸ κοινὸν τῆς Ἀσίας pertinebant, cui etiam ludi instituendi administrandique erant (Boeckh ad C I. 2741). Hinc ἀθλοθετήρ audit.

---

585. In agro Divionensi Gallorum urna; intus scripti versus. C. I. 6798.

Μίθρης ἐν ὀργάδι χῶμα τὸ σῶμα καλύπτει
Χυνδόνακτος ἱερέων ἀρχηγοῦ·
δυσ(σ)εβί[ας] ἀπέχου λύσι[ον] οἶκον ὁρῶ[ν].

Montfaucon qui in suspicionem vocavit titulum nescio an non erra-

verit. — 1 Μίθρης nomen hoc loco indeclinabile. — 3 ΔΥCΕΒΙΑΠΕΧΟΥΛΥC ΙΟΙΚΟΝ Franzii lectionem sequor licet non certam.

---

586. Florentiae. C. I. 6202.

Hic tumulata iacet Bacc]hi dei nota [sacerd]os
pastophorus]que deae Nilo[tidi, virgo p]udica,
nomine Ale]xandria, cui flo[rem atq]u[e] iuventae
robur P]arcarum nota sustu[lit i]nvida Diti.

Ἐνθά]δε Ἀλεξάνδρια κόρη, πρόπολος Διονύσου,
π]αστοφόρος τε θεᾶς Νειλωτίδος Εἴσιδος ἁγνῆς,
εἴκοσι δὶς πληρώσασα χρόνο[υς] κεῖται λυκαβάντων.

II vel III saeculi. — 1 suppl. Franz, 2 παστοφόρος Montfaucon, 3 χρόνον Iacobs, χρόνους legi posse adnotavit Franz. — 3 πλήσασα Iacobs, sed ignavus poeta quod in archetypo legerat εἴκοσι πληρώσασα mutare nescivit.

---

587. Vrbini, nunc Romae. C. I. 6238.

Θ(εοῖς) κ(αταχθονίοις).

Μήπω γευσάμενος ἥβης ὤλισθον ἐς Ἅιδου
δάκρυα καὶ στοναχὰς λείψας αἰῶνι γονεῦσιν
δύσμορος, οὐδ' ἐνόησα βροτῶν ψαύσα[ς] βιότοιο.
ἑπτὰ μόνους λ[υ]κάβαν[τ]ας δ[ύ]ω καὶ μῆνας ἔζησα,
ὧν τρεῖς ἐξετέλουν Διονύσῳ ὄργια βάζων.
Ἡρόφιλον δ' ἐκάλουν με πατὴρ καὶ πότνια μήτηρ.
ἔγνως, ὦ παροδεῖτα, τίς ἤμην· οὐκ ἐγενήθ[η]ν.

3 ΨΑΥΣΑΙ correxi. — 4 ΛΙΚΑΒΑΝΔΑΣΔΙΩ — 5 ὧν τρεῖς *ad menses refer*, Franz. — 7 extr. mystica quaedam odoratur Iacobs; intellege *vix me vivere sensi.* Tum narratis omnibus *mene vixisse? ne natus quidem sum.*

---

588. Romae. C. I. 6206.

Κεῖμαι Αὐρήλιος Ἀντώνιος ὁ καὶ
ἱερεὺς τῶν τε θεῶν πάντων, πρῶτον Βοναδίης,
εἶτα μητρὸς θεῶν καὶ Διονύσου καὶ Ἡγεμόνος·

τούτοις ἐκτελέσας μυστήρια πάντοτε σεμνῶς
νῦν ἔλιπον σεμνὸν γλυκερὸν φάος ἠελίοιο.
λοιπὸν μύσται εἴτε φίλοι βιότητος ἑκάστης
πάνθ' ὑπολανθάνετε τὰ βίου συνεχῶς μυστήρια σεμνά·
οὐδεὶς γὰρ δύναται μοιρ[ῶ]ν μίτον ἐξαναλῦσαι.
ἔζησον γὰρ ἐγὼ Ἀντώνιος οὗτος ὁ σεμνός
ἔτεσιν ζ', ἡμέραισιν ιβ'.
ἐποίησαν Αὐρηλεία Ἀντωνεία καὶ Αὐρήλιος Ὀνήσιμος
γλυκυτάτῳ τέκνῳ μνήμης χάριν.
θ(εοῖς) [κ](αταχθονίοις).

III fere saeculi. — 2 τῶνδε Iacobs; retinui τε quia qualem apodosis formam barbarus scriptor sibi figuraverit nescio. — 2 sq. distinguuntur Bona dea, Mater deorum, Dionysus, Iacchus, qui ἀρχηγέτης τῶν μυστηρίων τῆς Δήμητρος audit. — 6 prius εἴτε omissum esse vidit Welcker *Syll.* 58 *sive mystae sive profano cuique vitae generi addicti.* — 7 συνεχῶς adverbium pro adiectivo positum, fortasse ut duplex mysteriorum epitheton vitaretur. — 8 ΜΟΙΡΟΝ — 10 ἔτεσι νζ' Wilamowitz; at in lapide interpungitur post ἔτεσιν nec quidquam offensionis habet puer septennis Bacchicis mysteriis initiatus, cf. tit. praeced. — Subscriptum Θ. Χ.

---

589. Romae. C. I. 6218.

D(is) M(anibus) s(acrum).

Ἐνθάδε Γαιωνᾶς, ὃς κίστιβερ ἦν ποτε Ῥώμης,
καὶ δείπνοις κρείνας πολλὰ μετ' εὐφροσύνης,
κεῖμαι τῷ θανάτῳ μηδὲν ὀφειλόμενος.

Gaionas animula.

1 cistiferum recte Wilamowitz *mysticum popam* interpretatur. Num forte Ῥώμη (v. 1) dea intellegenda? — 2 facetum et hilarem se praedicat conmensalem. — 3 Muratori ΜΕΤΙΔΕΝΟΦΕΛΛΟΜΕΝΟϹ. Cf. ad epigr. attic. 132.

---

590. Aquis Sextiis. C. I. 6779.

Ῥουφείνης ἐμέθεν Πρόκλος πόσις ἐνθάδε κεῖται,
μοιράων βουλῇσι λιπὼν βίον ἠδ' ἐμὲ χήρην.
τεῦξα δέ [τ]οι μέγα σῆμα περισκέπτῳ ἐνὶ χώρῳ
θνητὸν πάντεσσι, θύρας δ' ἐπέθηκα φαεινάς,

εἴδω[λό]ν [τ]' ἐθέμην πανομοίιον, [εἶ]μά τ' ἔθηκα,
οἷον ἔχων ῥητῆρσι μετέπρεπες Αὐσονίοισι,
ἔν τ' αὐτοῖς ὑπάτοις κλέος ἔλλαβες ἔξοχον ἄλλων·
ἀλλ' οὔτοι νόσφιν γε σέθεν ποτ[ὲ] κείσομαι αὐτή·
ὡς πρὶν δ' ἐν [ζ]ωοῖσιν ὁμὸ[ς] δόμος ἄμμι τέτυκτο,
ὣς καὶ τεθνειῶτας ὁμὴ σορὸς ἀμφικ[αλύψει.

III fere saeculi. Proclum consulem fuisse (Proclum Pontianum a. 238) nescio an non recte Franz ex v. 7 conlegerit. — 3 ΙΟΙ — 5 ΕΙ ΔΩ\. ΝΓ — 9 ΣΩΟΙΣΙΝ — ΟΜΟΔΟΜΟΣ correxit omnia Stephani *Ind. lect. Dorpat.* 1849 p. 6. — 5 ΣΗΜΑ σχῆμα Stephani. — 8 ΠΟΤΙΚΕΙΣΟΜΑΙ legunt nullo sensu. — 10 versus ex parte homericus, cf. epigr. Att. supra n. 173 v. 21.

---

591. Ostiae. Visconti *Annal. Inst.* 1859 p. 235.

Θ Ω

Ἐνθάδε Νεῖλος κεῖται, ἀνὴ[ρ π]ροφερέστατος ἀνδρῶν,
ῥητορικός, μέγα θαῦμα, φέρων σημεῖον ἐφ' αὐτῷ,
ἡσύχιος, κεδνὸς καὶ μείλιχος ἠδὲ σοφιστής.

II vel III saeculi. — Praescriptas litteras Θ. Ω. non explico; nihili enim sunt θεαὶ Ὧραι. — 1 ΑΝΗΙΡΡΟΦ — 2 *hic ego iaceo tumulo vel monumento* (σημεῖον) *superinposito.*

---

592. Neapoli. C. I. 5821.

D. Servili D. l. Apolloni medici Servilia D. l. Ambrosia fecit patrono suo et sibi et suis.

Ὧδ' Ἐπάφου γέννημα, σοφοῖς ἐπ[ι]είκελος ἀνὴρ
κεῖμαι, Ῥωμαίων σπέρμα πολυκτεάνων,
κληζόμενος Δέκμος Σερουίλιος, εἰς ἔτη ἐλθὼν
ἐννέα που δεκάδων καὶ τρία, ὡς ἔλεγον.

II saeculi. — Latinis nominibus praecessit fortasse *dis manibus.* — 1 ΕΠΕΙΚΕΛΟϹ — 4 ὡς ἔλεγον inepte explicant *ut dicebant.* Immo ipse ad nonagesimum tertium annum se perventurum esse praedixerat, sicut Diophantus astrologus Ἑρμογένην τὸν ἰατρόν - εἶπε μόνους ζωῆς ἐννέα μῆνας ἔχειν A. P. XI 114. Studebat igitur Servilius non solum medicae arti sed etiam astrologiae.

***593.** Romae. C. I. 6297.

Θ(εοῖς) κ(αταχθονίοις).

Ἔν τε φίλοισι φίλοιο καὶ ἰητῆρος ἀρίστου
παιδείης θ' ἱερῆς ἐγγύθεν ἁψαμένου
σῶμ' Ἀσκληπι[άδα]ο καὶ υἱέος ἐνθάδε Βήρου,
ὡς ἐπέτελλε φίλοις, εἷς ὅδε τύμβος ἔχει.

Λ. Φοντείῳ Φόρτι Ἀσκληπιάδῃ τῷ γένει Ἐφέσιον, βιώσαντι ἔτεσιν $\overline{μ}$, μησὶν $\overline{β}$, ἡμέρ(αις) $\overline{κε}$, ὥρ(αις) $\overline{ζ}$, Ἐγνατία Βρισηὶς σύμβιος μνήμης χάριν.

II fere saeculi. — 3 ΑϹΚΛΗΠΙΛΛΟ legi, reliqui ΑϹΚΛΗΠΙΑΔΟΥ. — In subscriptis legi Α. ΦΟΝΤΕΙω, sed diffido. Dein certa est neque ultra solitum vitiosa lectio Ἐφέσιον pro Ἐφεσίῳ.

***594.** Apud Romam. C. I. 6208.

Ἀνέρες, οἳ πάρος Αὐσονίων πέδον εἴχετε, ξεῖνοι,
βαιὸν ἐπὶ τραφερῇ χθονὶ δερκόμενοι τόδε δῶμα
ἀνδρὸς ὀπιζομένου Ζηνὸς νόον αἰγιόχοιο,
ὅς ποτ' ἔδειξε βροτῶν πολυπλάγκτοισιν πραπίδεσσιν
ψυχὴν ἀθανάτην κἀγήραον ἐκ Διὸς αἴσης,
μάρτυρα Φοῖβον ἀμύμ[ω]σιν σελίδεσσι χαράξας.
οὐδ' ἄρα θνητὸς ἔην, ὑπ' ἀνάγκης δ' ὑψιμέδοντος
τύμβῳ εἰναλέῳ πεπεδημένος ἤνυσεν οἶμον·
ἐκ ῥεθέων δ' ἅμα στείχων σεμνὸν ἔβη Διὸς οἶκον,
Λητοίδῃ καὶ Μούσαις βωμὸν ὑπ' ἠέρι τεύξας·
εἰητὴρ δ' ἅμ' Ἀσκληπιάδης μακάρων τρίβον ἤει,
χρημοσύνην δ' ἔλιπεν πολυκήριον ἐν νεκύεσσιν.

IV saeculo vix antiquius epigramma pessimum, cuius praeter numerorum sordes nota epithetorum ampullas. — 1 οἵπερ ἐς Αὐσ. Iacobs. — 4 de animae inmortalitate scripsisse videtur librique exordium a Phoebo medicae artis patrono repetiisse. — 6 ΑΜΥΜΝΙϹΙΝ aperta lapidis lectio; describens vero notavi litteras ΝΙ ex ω posse corruptas esse. Itaque ἀμύμωσιν soloecam formam quam Iacobsii ἀμυμόνεσιν reponere malui. — 8 σιγαλέῳ Iacobs. εἰναλέῳ non meliore corriges iure quam Πραιτωρεανόν similia. — 9 ἀναστείχων Iacobs sine causa: *vix tumulum ingressus ad caelum evectus est.* — 11 fuit igitur medicus philosophus.

***595.** Romae. C. I. 6265.

Θ(εοῖς) κ(αταχθονίοις).

Στήλην ἔθηκαν Νικομήδει συνγενεῖς,
ος ἦν ἄριστος ἰητρός, ἐν ζωοῖς ὅτ' ἦν,
πολλούς τε σώσας φαρμάκοις ἀνωδύνοις
ἀνώδυνον τὸ σῶμα νῦν ἔχει θανών.
εὐψυχῶ Νικομήδης, ὅστις οὐκ ἤμην καὶ ἐγενόμην, οὐκ εἰμὶ καὶ οὐ λυποῦμαι, ζήσας ἔτη μδ̄ καὶ ἡμέρας κγ̄.

II fere saeculi. — Ab initio ex solius Thorlacii auctoritate praecedit nomen Χειρίσοφος, quod neque nunc legitur neque unquam opinor in hoc quidem lapide scriptum fuit.

---

596. Ravennae. C. I. 6735.

Θ(εοῖς) κ(αταχθονίοις).

Τὴν σεμνῶς ζήσασαν ἀμώμητόν τε σύνευνον
Παυλεῖναν φθιμένην ἐννεακαίδεκ' ἐτῶν
Ἀνδρόνικος ἰητρὸς ἀνὴρ μνημή[ι]α τίνων
τήνδε παννστατ[ί]ην [στήσα]το μαρτυ[ρίην.

II vel III saeculi. — 3 ΜΝΗΜΗΝ | ΑΤΙΝCWΝ corr. Wilamowitz. — 4 suppl. Brunck.

---

597. Romae. C. I. 6216.

Νικαίης προλιπὼν Βιθυνίδος ὢν ἔτι κοῦρος
ἄστυ κλυτὸν γαίην ἦλθον ἐς Αὐσονίων·
Ῥώμη δ' ἐν ζαθέῃ ψήφο[υς] καὶ μέτρα διδάξα[ς
μνῆμ' ἔλαχον Βασιλεὺς ἔργον ἐμῆς πραπίδο[ς.

III fere saeculi. — Basileus Romae mathematicen profitebatur. — 4 intellego: *sepulcrum nactus sum, quod mihi ex ingenio quaestu facto ipse conparavi.*

***598.** Romae. C. I. 6211.

Πατρὶς μὲν ζαθέη Ῥώμη, Βασιλεὺ[ς] δὲ πατήρ μοι,
Ἀττίκιλλα δ' ἐγὼ λεγόμην, καλὸν οὔνομα μητρός·

κουριδίῳ δὲ πόσει παῖδας λίπον ἡβώοντας
τέσσαρας, οἵ με νέαν τῷδ' ὑπέθεντο τάφῳ.

Litterae admodum recentes. — 1 ΒΑϹΙΛΕΥΔΕ lapis. Basileum hunc Franz eundem esse putat mathematicum, cuius epitaphium vide tit. praeced., firmarique opinatur coniecturam *mentione* ζαθέης 'Ρώμης *in utroque titulo facta.* At Nicaeensis ille si domum Romae condidisset, vix nullam uxoris filiaeve in epitaphio eius mentionem inveniremus, et ζάθεος adiectivum, quod omnibus pari iure oppidis tribuebatur, quidni in duobus romanis titulis Romae tribui putabimus?

---

599. Catanae. C. I. 5649 h.

Βαιὸν ἐμὲ Νύμφαις ἔργον κάμ[εν . . . .
οὐ γάρ μοι σθεναρὴν χεῖρ' ἐπέ[οικε φέρειν·
ἀλλ' ἐν ἐμοὶ καμάτων εὗρεν τέλ[ος, εὗρε δὲ τύμβον
ἀγχόθι λαινέης αὔλακος ὑδρο[φόρου,
τὴν αὐτὸς ποίησεν ἐς ἠέρα πολλ[ὸν ἀείρας
νᾶμα φέρειν καθαρὸν ἐνναέται[ς Κατάνης.

III vel IV saeculi. In postica lapidis parte titulus latinus scriptus de reficiendo aquaeductu, quem etiam recentiorem esse vidit Castelli. — 1 sq. dubia restitutio. Wilamowitz v. 1 κάμ[εν Αἰτναίαισιν] et v. 2 χεῖρ' ἐπέ[θηκε Δάμις]. At probabilius nomen architecti in ipso versu primo positum fuisse. Fortasse haec fuit sententia: *exiguum me opus omnium postremum fecit* ὁ δεῖνα, *quoniam ad me conficiendum non robusta manus opus erat sed sufficiebat manus maioribus ceteris operibus defetigata. Et invenit in me operum omnium finem et exitum, invenit enim sepulcrum.* Verba sunt labri, quod architecto opere confecto mortuo honoris causa sepulcro datum erat. — 3 supplevit Wilamowitz, 4 Franz, 5 ego, 6 Iacobs.

***600.** Neapoli. C. I. 5820 b.

Θ(εοῖς) κ(αταχθονίοις).

Ἐνθάδε κεῖται ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων
Πομπήιος Διοκλῆς τέρματ' ἔχων σοφίης.

II vel III saec. — 1 clausula homerica. — 2 sic lapis; legebatur τέρμα τυχών.

***601.** Romae. C. I. 6230.

Τὸν σοφίῃ προὔχοντα καὶ εὐτεχνίης ἀροτῆρα,
τὸν πατέρ' ἡμέτερον πολλοῖσι χρόνοις γεγαῶτα,
τὸν τρὶς ἀριστεύσαντα, σὺν ἐντείμοισι φίλοισι
Εὐτόνιοι παῖδες πατέρ' Εὐτόνιον τεθνεῶτα
πολλάκις ὑμνήσωμεν ἐν⟨α⟩ὶ στήλαισι γραφέντα.

II vel III saec. — 1 ϹΟΦΙΗϹ lapis, σοφίῃ Brunck. Fortasse poetae alicuius locum male imitatus scriptor σοφίης dederat. — 3 notavit Franz τρίς sensu tralaticio perperam cum verbo positum conparatque τρὶς ἀριστεύς.

***602.** Romae. C. I. 6324.

. . . . χρησ]τῷ πρὸς πάλην
. . . . κὰν ἱ]μᾶσι τεχνείτῃ τόνδε
κλειν]ῆς Ὀφελλίῳ θαν[όντι φῶς] πάτρας
μνείας [ἕκητι τεῦξε] Μάρκελλος τάφον.

II saeculi. — Titulus, si quidem vera fere supplevi, haud vulgari verborum ordine insignis. Ex meo apographo, neque errari potuit in re aperta, certa sunt v. 2 ΛΑϹΙ et v. 3 ΠΑΤΡΑϹ, quae temere mutavit Franz. Obscurius est quomodo versus distributi fuerint in lapide a sinistra mutilo.

***603.** Romae. C. I. 6231.

Κῆρυξ καὶ τάφος εἰμὶ βροτοῦ πάρος ἀρχεχόροιο
Εὐτύχους αἰάζων κῆρα μινυνθάδιον,
ὃς θνητοῖς ψυχὴν πείσας ἐπὶ σώμασιν ἐλθεῖν
τὴν αὐτοῦ, μέλεος, οὐκ ἀνέπεισε μένειν.

II vel III saeculi. — 1 choragus fuit Eutyches. — 2 cave corrigas μινυνθαδίην. — 3 sq. sententia arguta parum bene expressa. Explicat Wilamowitz: *is qui mortalibus corporibus animam (alienam) indidit, suam tenere non potuit.* Sed haec si recte intellego non coryphaei sunt sed chorodidascali vel poetae; intellego: *qui cum animos audientium curis distractos ad corpora revocaret, suum (i. e. suam animam) ne manere quidem in corpore cogere posset.*

---

604. Romae. Ectypo usus edidi *Bullet. arch.* 1873 p. 49.

Σμυρναῖος Μοσχιανός, ἐπεὶ θάνον, ἐνθάδε κεῖμαι,
κωμῳδός, καὶ τοῦτο διακρίνει γε τὸ σῆμα·
Μαρκιανὸς δέ μ' ἔθαψε καὶ ἐκήδευσεν, ὁδῖται,
μήτε νεκὺν προλιπών, μήτ' ἐν ζωοῖς ἔτ' ἐόντα.
νοσφισθεὶς βιότου δὲ τέλος καὶ μοῖραν ἔπλησα.

II saeculi. — Moschianus fortasse τῆς ἱερῆς συνόδου τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν sodalis fuit, cf. Lueders *Dionys. Techniten* p. 94 sq. — 2 σῆμα fuerit πρόςωπον κωμικόν. — 3 ἐκήδευσεν augmenti syllaba male producta.

---

605. Messanae. C. I. 5629.

Παφιανὸς Πάφιος τῇδ' ὑπὸ γῇ λέλ[υ]με,
κωμῳδός, λιφθεὶς τὸν βιότου στέφανον.

1 ΛΕΛΙΜΕ — 2 τὸν στέφανον est graecus quem dicunt accusativus, *destitutus coronis quas in musicis certaminibus dum vivo referre solebam.*

---

606. Romae. C. I. 6209.

Τέρμα βίου τελέσας, παῖς [γ]άειος, ἐνθάδε κεῖμαι,
ἀσκήσας [πάσης] εἶδος ὑποκρίσεως·
ὀκτωκαίδεκ' ἔτη ζήσας Ἀσκληπιόδωρος
γῆς ὢν πρόσθε γόνος μητέρα γαῖαν ἔχω.

II vel III saeculi. — 1 ΠΑΙΣΤΑΕΙΟΣ vel ΠΑΙΣΤΑΙΟΣ apographa. Erraverunt quicunque patris nomen in his latere censebant; Asclepiodorus enim ut mimus servus erat utque servus nullius generis, sed *terrae progenies*, cf. A. P. VII 371 de Crinagorae servo γῆ μευ καὶ μήτηρ κικλήσκετο, γῆ με καλύπτει καὶ νέκυν. Neque ferri potest πλεῖστ' αἰνετός, quod Brunck, vel πλεῖστ' ἄξιος, quod Wilamowitz invenit, nam laudis vocabulo nullus hic locus est. Itaque quod v. 4 dictum est idem hoc loco παρ' ὑπόνοιαν positum existimo παῖς γάιος, sicut ex egregia Wilamowitzii coniectura Eur. *Herc.* 794 Σπαρτῶν ἵνα γάιος (cod. γένος) ἐφάνη χαλκασπίδων λόχος scribendum est. — 2 ΑΣΚΗΣΑΣ..... πάσης ἀσκήσας Casaubonus, quod mutato verborum ordine recepi.

---

607. Romae, nunc Cantabrigiae. C. I. 6243.

Δαίμοσιν εὐσεβέσιν Γαίου Ἰουλίου Καρακουττίου
ποίησεν Κασία τῷ τειμίῳ καὶ ἀξίῳ ἀνδρί·
πᾶσι φίλος θνητοῖς εἴς τ' ἀθανάτους δεισιδαίμων
κοιμᾶται Καρακοῦττις, ἔχων μνήμην διὰ παντός,
τέρψας σύνκλητον, ματρώνας καὶ βασιλῆας,
εὐφρανθεὶς ἐφ' ὅσον μοῖραι χρόνον ὥρισαν αὐτῷ,
εὐσεβίης ἕνεκεν δοξασθεὶς καὶ μετὰ λήθην.

III fere saeculi. — Mimum fuisse ex v. 5 optime conlegit Welcker (*Syll.* 83) coll. Ovid. *Trist.* II 501 *nubilis hos virgo matronaque virque puerque spectat et e magna parte senatus adest.* — 1 δαίμοσιν εὐσ. i. e. *dis manibus.* — Καρακοῦττις nomen simile porcelli nomini *Corocottae*, de quo vide Hauptii adnot. *Opusc.* II 178.

---

608. Romae. C. I. 6305.

Ἱστορίας δείξας καὶ χερσὶν ἅπαντα λαλήσας,
ἔμπειρος Βρομίοιο σοφῆς ἱερῆς τε χορείας,
συνπάσχων κείνοις [οἷσ]περ κεινεῖτο προςώποις.
κοσμήσας πᾶσαν θυμέλην διδαχαῖς πολυδόξοις,
οὗτος ὁ παιδίας θαλερῆς ἐνκώμια λίψας
κεῖτε δ[ὴ] γήρᾳ βεβαρη[μέ]νος· οὐκ ἔθανεν γάρ
ζώσης εὐρυχόροιο τέχνης ἀρεταῖσι μαθητῶν.

II vel III saeculi hoc est pantomimi epitaphium. — 3 ΚΕΙΝΟΙϹΠΕΡ corr. Osann. — 6 ΔΕ et ΒΕΒΑΡΗΝΟϹ corr. Salvinius.

---

609. Aquileiae in amphitheatro. C. I. 6750.

Τὴν πολλοῖς δήμοισι πάρος, πολλαῖς δὲ πόλεσσι
δόξαν φωνάεσσαν ἐνὶ σκηναῖσι λαβοῦσαν
παντοίης ἀρετῆς ἐν μείμοις, εἶτα χοροῖσι,
πολλάκις ἐν θυμέλαις, ἀλλ' οὐχ οὕτω δὲ θανούσῃ
τῇ δεκάτῃ Μούσῃ τὸ λαλεῖν σοφὸς Ἡρακλείδης
μειμάδι Βασσίλλῃ στήλην θέτο βιολόγος φώς,
ἣ δὴ καὶ νέκυς οὖσα ἴσην βίου ἔλλαχε τειμήν,
μουσικὸν εἰς δάπεδον σῶμ' ἀναπαυσαμένη.
ταῦτα οἱ σύσκηνοί σοι λέγουσιν· 'εὐψύχει Βάσσιλλα· οὐδεὶς ἀθάνατος.'

III fere saeculi. Quae de Bassillae aetate honoribusque Franz Petrettino et Reinesio ducibus disputat futilia omnia. — 4 θανούσῃ dativus accusativum λαβοῦσαν (v. 2) excipit. Ceterum conferunt Philistionis epitaphium A. P. VII 155 πολλάκις ἀποθανών, ὧδε δ' οὐδεπώποτε. — 5 λαλεῖν σοφός vocatur Heraclides βιολόγος vel ἠθολόγος, quod nescio cur Franzio placuerit de gestibus intellegere. — 8 μουσικὸν δάπεδον i. e. amphitheatri, ubi repertus titulus.

---

610. Romae. C. I. 6306.

. . . . βιό[τ]ε[υ]ον
πάντες γά[ρ μ' ἐπό]θουν, ἤμην γὰρ πᾶσι προςηνής,
καὶ στεφάνους ἐφόρουν, πολλ[οῖς δὲ μύ]ροισιν ἐχρώμην,
καὶ [μ]ε[τὰ δόρπον] ἐκοιμώμην κλισ[μ]ῷ [ἐνὶ καλῷ.
ἐνδεδύμην δὲ τὸ σῶ[μ' ἐσθήμα]σι χρώμασι θείοις,
κάλλος ἔχουσα τύποισ[ι] ταφῆς ἔτυχον μετὰ τοῦτο,
καὶ ζῶ κοὐκ ἔθανον τοῖον [ἔχουσα] τάφον.

1 ΛΑΒΙΟΙΕΙΟΝ corr. Welcker, qui etiam vv. 2, 5, 7 restituit. — 3 πολλοῖς δ' ἑτάροισιν Welcker. — 4 ΚΑΙΓΛΕ καὶ μὲν ἀγαστὸν ἐκοιμώμην κλισμῷ περιχρύσῳ idem; καὶ μετὰ τῶν (i. e. ἑτάρων) μὲν ἐκ. κλισμῷ ἐνί καλῷ Franz; at inpudenter ne meretrices quidem publice loquentes invenies. Ego nihil nisi temporis notam requiro, quae δείλης μέν an μετά δόρπον fuerit nescio. — 6 τύποι sunt *vultus*, quod contra interpretes monendum.

---

611. *Duplici inscriptioni latinae prope Romam repertae sex versus graeci dicuntur adiecti esse, ex quibus duos qui sequuntur litteris minusculis edidit Sirmondus in notis ad Sidonium p. 160.* C. I. 6274.

Θρέψε πάτρη Ῥώμη κλυτὸς ἡνίοχος Πολυνείκης
υἷε δύο Μακάριν Τατιανόν τε κάσιν.

Latini duo tituli sunt Tatiani et Polynicae aurigarum, qui apud omnes quattuor factiones vicerant.

---

612. Romae. C. I. 6234.

Ζωίλος ἡνιόχων προφερέστατος ἐνθάδε κεῖται.

---

613. Romae. Sarcophagi anaglypho poeta cum Musa bis expressus, sub sedili persona scenica. C. I. 6287.

Μ. Σεμπρώνιος Νεικοκράτης.

Ἤμην ποτὲ μουσικὸς ἀνήρ,
ποιητὴς καὶ κιθαριστής,
μάλιστα δὲ καὶ συνοδείτης.
πολλὰ βυθοῖσι καμών, ὁδηπορίες δ' ἀτονήσας,
ἔνπορος εὐμόρφων γενόμην, φίλοι, μετέπειτα γυναικῶν·
πνεῦμα λαβὼν δάνος οὐρανόθεν τελέσας χρόνον ἀνταπέδωκα,
καὶ μετὰ τὸν θάνατον Μοῦσαί μου τὸ σῶμα κρατοῦσιν.

II saeculi. — Fuit Sempronius sacrae synodi sodalis, eius fortasse quam Τραιανὴν Ἀδριανήν adpellatam Romae fuisse scimus, cf. Lueders *Dion. Techn.* p. 95. Postea cum non iam lucri quidquam faceret ex studiis musicis, ad magis lucrosa se convertit negotia (v. 5). Denique quas a puero adamaverat Musae eo potiuntur eumque tumulo tegunt (v. 7); nam *musae* sunt versus sepulcro inscripti. — vv. 1 - 3 utrinque anaglyphis cinguntur, quo ineptius Franz hexametros videtur instituisse.

***614.** Romae. C. I. 6260.

Εὐφρανθεὶς συνεχῶς γελάσας παίξας τε, τρυφήσας
καὶ ψυχὴν ἱλαρῶς πάντων τέρψας ἐν ἀοιδαῖς,
οὐδένα λυπήσας, οὐ λοίδορα ῥήματα πέμψας,
ἀλλὰ φίλος Μουσῶν, Βρομίου Παφίης τε βιώσας,
ἐξ Ἀσίης ἐλθὼν Ἰταλῇ χθονὶ ἐνθάδε κεῖμαι
ἐν φθιμένοις νέος ὤν· τοὔνομα Μηνόφιλος.

II fere saeculi. — Franz unde actorem comicum fuisse rescierit non adsequor.

---

615. Senae Gallicae. Ex Henzeni apographo C. I. 6309 b. Vtor Bormanni ectypo.

Θ(εοῖς) κ(αταχθονίοις).

Ἤμην ὡς ἤμην φωνὴν καὶ πνεῦμα καὶ εἶδος,
ἀρτιτόκου φωτὸς ψυχίον ἐνθόθ' ἔχων,
αἴσιος ἐμφιλότητι καὶ ὄλβιος ἐμπραπίδεσσι,
μηδὲν ἄγαν φρονέων, θνητὰ δὲ πάνθ' ὁρόω[ν,

ἦλθον, ἀπῆλθον ἄμεμπτος, ἃ μὴ θέμις, οὐκ ἐδόκευσα,
εἴτ' ἤμην πρότερόν, εἴτε χρόνοις ἔσομαι·
παιδεύθην, παίδευσα, κύτος κόσμοιο πέδησα,
θείας ἐξ ἀθανά[τ]ων φωσὶ φράσας ἀρετάς.
κεῦθι γαῖα φίλη με· τί δ' ἁγνὸν ὅμως ὄνομ'; [ἤ]μην
πᾶσι Φίλητος ἀνὴρ τῆς Λυκίης Λιμύρων.

II vel III saeculi. — Epitaphium est ludimagistri disciplinae ut videtur Pythagoricae. — 2 alteram pentametri partem a lapidario post v. 10 sculptam in suum locum revocavit Welcker *Mus. Rh.* VI 97. — *ἀρτιτόκου animulam habens tamquam pueri modo nati.* φωτός vocabulo et hic abutitur et v. 8. — 7 *vitae monstrum superavi.* — 8 ΑΘΑ ΝΑΘΩΝ — 9 ΟΝΟ | ΝΗ^Η Henzen, ΟΝΟ | ΜΑΜΗΝ Bormann; corr. Wilamowitz, unde v. 10 *Φίλητον* nomen feci, quod ex haud insolito lusus genere simul adiectivi vice fungitur, cf. epigr. Thebanum supra n. 502 *φέρω δ' ἐν γαστέρι φῶτα Νήδυμον ὕπνον ἔχοντα.* Mitto Welckeri et Franzii conmenta.

***616.** Romae. C. I. 6291.

D. M. Didio Taxiarche lib(erto) fidelissimo.

Τυτθὸν ἐμὸν παρὰ τύμβον ἐπεὶ μόλες, ὦ ξένε, βαιόν
στῆσον ἴχνος παύροις γράμμασιν εἰςορόων·
ζωὸς ἐὼν [Μούσαισιν ὁ]μείλεον· ἐν δέ τε παίδων
εὐγενέων ἱερῆς ἦρξα διδασκαλίης·
καὶ δὴ καλεύμην Ταξιάρχης ἐν βροτοῖς·
οὐ γὰρ ἐν ἑξαμέτροισιν ἥρμοσεν τοὔνομ' ἐμόν.

II saeculi. — In praescriptis lapis ΤΑΧΙΑΡCΗΕ. — 3 ΕΩΝΜΕΙΛΕΟΝ erravit lapicida. Suppleverunt *βασιλεῦσιν* Franz, *ἀγαθοῖσιν* Gerhard, paullo elegantius *πολλοῖσιν* Buecheler (scil. *γράμμασιν*), quae per ludum opponerentur *παύροις γράμμασιν* lapidis (v. 2). Simplicius tamen videbatur quod posui. — 5 senarius cum pro hexametro sit excipitur pentametro.

---

617. Romae. C. I. 6212.

Υἱὸς ἐγὼ λεγόμην Ἀγαπωμενοῦ, ᾧ με μιγεῖσα
Κουίντα τέκεν θαλερὴ Ῥηγίῳ ἐν διερῷ·
ἐνδυκέως δὲ τρέφοντες Ἀτείμητόν με κάλεσσαν·
δῶρα δὲ Μουσάων καὶ βρέφος ὢν ἀγαπῶν

δωδεκέτης ἦλθον Ῥώμην, φίλε, τῆς με καλύπτει
ἥδε νέον βῶλος, πατρὶ λιπόντ' ἄχεα.

II saeculi. — 3 post *κάλεσσαν* distinxi cum Franzio; intellege *musicam ut excolerem indolem Romam profectus sum.*

***618.** Romae ad portam Salariam. Anaglypho exsculptus puer togatus sinistra manu volumen tenens. Ad utrumque imaginis latus versus graeci, infra titulus latinus et epigrammata graeca scripta sunt. Visconti *Il sepolcro del fanciullo Quinto Sulpicio Massimo.* Roma 1871. Henzen *Bullet. arch.* 1871 p. 98 sqq.

Deis Manibus sacrum.

Q. Sulpicio Q. f. Cla(udia) Maximo, domo Roma, vix(it) an(nos) XI, m(enses) V, d(ies) XII. Hic tertio certaminis lustro inter graecos poetas duos et quinquaginta professus favorem quem ob teneram aetatem excitaverat in admirationem ingenio suo perduxit et cum honore discessit. Versus extemporales eo subiecti sunt, ne parent(es) adfectib(us) suis indulsisse videant(ur). Q. Sulpicius Eugramus et Licinia Ianuaria parent(es) infelicissim(i) f(ilio) piissim(o) fec(erunt) et sib(i) p(osterisque) s(uis).

Κ(οίντου) Σουλπικίου Μαξίμου καίριον.
Τίσιν ἂν λόγοις χρήσαιτο Ζεὺς ἐπιτιμῶν Ἡλίῳ ὅτι τὸ ἅρμα ἔδωκε Φαέθοντι.

Ἡμετέρου κόσμοιο φαεσφόρον ἁρμελατῆρα
οὐχ ἕτερον πλὴν σεῖο θεοὶ ποίησαν ἄνακτες·
τίπτε κακόφρονα θῆκες ἐφ' ἀψίδεσσιν Ὀλύμπου
υἱέα καὶ πώλων ἄφατον τάχος ἐγγυάλιξας,
ἡμετέρην οὐδ' ὅσσον ὑπο(δ)δείσας ἐπαρωγήν;
οὐ τάδε πιστὰ θεοῖς σέο δήνεα· ποῖ Φαέθοντος
εὐσταθὲς ἅρμα φορεῖτο; τί σοῦ πυρὸς ἀκ[α]μάτοιο
φλὸξ ἄχρι καὶ θρόνον ἦλθεν ἐμὸν καὶ ἐπ' εὐρέα κόσμον;
μίγνυτο καὶ κύκλοισιν ὑπερμενὲς ἄχθος ἀπ' εἴλης·
Ὠκεανὸς χέρας αὐτὸς ἐς οὐρανὸν ἠέρταζε,
τίς ποταμῶν οὐ πᾶσαν ἀνεξηραίνετο πηγήν;
καὶ σπόρος ἐς Δήμητρα καταίθετο, καί τις ἄπλατον
ἀζαλέην ἔκλαυσε παρὰ δρεπάναισι γεωργός,
σπείρων εἰς ἀχάριστα μάτην θ' ὑπὸ κυφὸν αροτρον
ταῦρον ὑποζεύξας ὑπό τ' ἀστέρα βουλυτοῖο

κάμψας ἄρρενα γυῖα σὺν ἀχθεινοῖσι βόεσσι·
γαῖα δ' ὑπέστενε πᾶσα κακόφρονος εἵνεκα κούρου.
καὶ τότ' ἐγὼ πυρὶ φέγγος ἀπέσβεσα· μηκέτι παιδός
μύρεο λυγρὸν ὄλεθρον, ἑοῦ δ' ἔχε φροντίδα κόσμου,
μή ποτε χειρὸς ἐμῆς φλογερώτερον ἔγχος ἀθροίσῃς.
γίνωσκ' οὐρανίοιο Διὸς νόον· οὐ μὰ γὰρ αὐτήν
Ῥείην ἄλλο τ[ι τ]οῦδε κακώτερον ἴδεν Ὄλυμπος·
κόσμος ἐμὸς σὴ πίστις ἔφυ μεγακύδεος ἔργου.
οἰχέσθω τὰ πάροιθε, τὰ δ' ὕστερα φροντίδι κεῦθε·
οὐ σὸς ἔφυ· πώλων γὰρ ἀπείριτον [ο]ὐ σθένος ἔγνω,
ῥυτήρων οὐδ' ἔσχε πολυφραδὲς ἔργον ἀνύσσαι.
ἔρχεο νῦν, πάλι κόσμον ἐποίχεο, μὴ τεὸν εὖχος
ἀλλοτρίαις παλάμαισι πόρῃς ἀμένηνα πονήσας·
μούνῳ σοὶ πυρόεντος ἐπειγομένῳ κύκλοιο
ἀντολίη καὶ πᾶσα καλὸς δρόμος ἔπλετο δυσμή·
σοὶ τόδε πιστὸν ἔδωκε φέρειν νόος, ἄφθιτον εὖχος.
φείδεο γῆς καὶ παντὸς ἀριπρεπέος κόσμοιο,
ἴσχε δρόμον μεσάταισιν ἐπ' ἀψίδεσσιν Ὀλύμπου·
ταῦτα πρέποντα θεοῖς, ταῦτ' ἄρκια· μαίεο, δαῖμον,
μιλίχιον πάλι φέγγος· ὁ σὸς πάις ὤλεσε πουλύ·
καὶ τὸν ἀπειρέσιον μέγαν οὐρανὸν αὐτὸς [ὅ]δευε,
ἥμισυ μὲν γαίης νέρθεν, τὸ δ' ὕπερθε τανύσσας·
οὕτω γὰρ πρέψειε τεὸν φάος Οὐρανίδαισι,
καὶ φωτῶν ἀκάκωτος ἀεὶ λειφθήσεται εὐχή,
πρηυμενῆ δ' ἕξεις Ζηνὸς νόον· ἢν δ' ἑτέρη τις
λείπηται σέο φροντὶς ἀταρβ[έ]ος, ἵστορες αὐτοί
ἀστέρες ὡς πυ[ρό]εντος ἐμοῦ μ[έ]νος αἶψα κεραυνο[ῦ]
ὠκύτερον πώλων . . . . . δέμας . . . .

Ἐπιγράμματα.

a. Μοῦνος ἀπ' αἰῶνος δύο καὶ δέκα παῖς ἐνιαυτῶν
Μάξιμος ἐξ ἀέθλων εἰς Ἀίδην ἔμολον·
νοῦσος καὶ κάματός με διώλεσαν· οὔτε γὰρ ἠοῦς,
οὐκ ὄρφνης μουσέων ἐκτὸς ἔθηκα φρένα.
